γεραρός. Λαμπρὸς/μεγαλόπρεπος, splendid/majestic, Ξενοφάνης 1.9 *γ ε ρ α ρ ή τε τράπεζα.*

γέρων (συνών. *πρεσβύτης*, ἀντίθ. *νέος*). Γέρος, old man, Δημόκριτος 104 *εὔχαρις γ έ ρ ω ν ὁ αἱμύλος καὶ σπουδαιόμυθος* 183.2 *ἔστι που νέων ξύνεσις καὶ γ ε ρ ό ν τ ω ν ἀξυνεσίη* 295.1 *ὁ γ έ ρ ω ν νέος ἐγένετο.* Πρβλ. *γῆρας, γηράσκειν, γηραιός, γηραλέος.*

γεύεσθαι. Γεύομαι, taste, Δημόκριτος 11.6 *μήτε ὀδμᾶσθαι μήτε γ ε ύ ε σ θ α ι.* Πρβλ. *αἰσθάνεσθαι.*

γεῦσις. Ἡ γεύση, taste, Δημόκριτος 11.3 *ὄψις, ἀκοή, ὀδμή, γ ε ῦ σ ι ς, ψαῦσις,* Πρβλ. *αἴσθησις, γεύεσθαι.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

γεωγραφίη. Γεωγραφία, Geography, Δημόκριτος 14 c (τίτλ). *Γ ε ω γ ρ α φ ί η.*

γεωμετρία (τύπ. *γαμετρία*, συνών. *γεωμετρικά*). Γεωμετρία, geometry, Ἀρχύτας 1.7 *περὶ γ α μ ε τ ρ ί α ς καὶ ἀριθμῶν . . . ἃ ἐκλείπει αὖ ἁ γ ε ω μ ε τ ρ ί α* Δημόκριτος 11 m (τίτλ.) *Περὶ γ ε ω μ ε τ ρ ί η ς.*

γεωμετρικός. Γεωμετρικός (μουσικὸς ὅρος), geometrical/geometric (musical term), Ἀρχύτας 2.2-7 *δευτέρα δὲ ἁ γ ε ω μ ε τ ρ ι κ ὰ . . . ἁ γ ε ω μ ε τ ρ ι κ ὰ δέ, ὅκκα ἔωντι οἷος ὁ πρᾶτος ποτὶ τὸν δεύτερον.*

γεωμετρικά (ἁ) (συν. *γεωμετρία*). Ἡ Γεωμετρία, geometry, Ἀρχύτας 4.3 *καὶ δοκεῖ ἁ λογιστικὰ . . . καὶ τᾶς γ ε ω μ ε τ ρ ι κ ᾶ ς ἐναργεστέρω πραγματεύεσθαι ἃ θέλει.* ‖ **γεωμετρικά (τά)** Δημοκρ. 11 n (τίτλ.) *Γ ε ω μ ε τ ρ ι κ ῶ ν. A B.*

γεωργίη. Γεωργία, agriculture, Δημόκριτος 26 f (τίτλ.) *Περὶ γ ε ω ρ γ ί η ς ἢ γεωργικὸν (γεωργικά).*

γεωργικόν. Πραγματεία περὶ γεωργίας, treatise on agriculture, Δημόκριτος 26 f (τίτλ.) *Περὶ γεωργίης ἢ γ ε ω ρ γ ι κ ὸ ν (γεωργικά).*

γῆ (τύπ. *γαῖα, γᾶ*, ἐπικ. *αἶα*, συνών. *χθών, Χθονίη, ἄρουρα*) **1.** Ἡ γῆ ὡς πρωταρχικὸ στοιχεῖο, earth as a primary element, Ξενοφάνης 29 *γ ῆ καὶ ὕδωρ πάντ' ἔσθ' ὅσα γίνοντ(αι) ἠδὲ φύονται* 33 *πάντες γὰρ γ α ί η ς τε καὶ ὕδατος ἐκγενόμεσθα* Ἡράκλειτος 36.2 *ὕδατι δὲ θάνατος γ ῆ ν γενέσθαι, ἐκ γ ῆ ς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή* Μέλισσος 8.5-20 *εἰ γὰρ ἔστι γ ῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ . . . δοκεῖ δὲ ἡμῖν . . . ἐξ ὑδατός τε γ ῆ καὶ λίθος γίνεσθαι* Ἐμπεδοκλῆς 17.18 *πῦρ καὶ ὕδωρ καὶ γ α ῖ α καὶ ἠέρος ἄπλετον ὕψος* 71.2 *ὕδατος γ α ί η ς τε καὶ αἰθέρος ἠελίου τε* 85 *ἡ δὲ φλὸξ ἱλάειρα μινυνθαδίης τύχε γ α ί η ς* 109.1 *γ α ί ῃ μὲν γὰρ γ α ῖ α ν ὀπώπαμεν* Φιλόλαος 12.2 *τὰ ἐν τᾷ σφαίρᾳ πῦρ ‹καὶ› ὕδωρ καὶ γ ᾶ καὶ ἀὴρ* Ἀναξαγόρας 16.1-3 *συμπήγνυται γ ῆ . . .ἐκ δὲ τοῦ ὕδατος γ ῆ, ἐκ δὲ γ ῆ ς λίθοι Διογέ-*

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

νης 2.4 *γ ῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ* **2** (ἀντιδιαστ. *οὐρανός*). Ἡ Γῆ, Earth, Ξενοφάνης 28.1 *γ α ί η ς μὲν τόδε πεῖρας ἄνω παρὰ ποσσὶν ὁρᾶται ἠέρι προσπλάζον* 31 *ἠέλιος θ' ὑπεριέμενος γ α ῖ ά ν τ' ἐπιθάλπων* Παρμενίδης 11.1 *πῶς γ α ῖ α καὶ ἥλιος ἠδὲ σελήνη* 14 *νυκτιφαὲς περὶ γ α ῖ α ν ἀλώμενον ἀλλότριον φῶς* Ἐμπεδοκλῆς 39.1 *εἴπερ ἀπείρονα γ ῆ ς τε βάθη* 42.2 *ἀπεσκνίφωσε δὲ γ α ί η ς* 45 *κυκλοτερὲς περὶ γ α ῖ α ν ἕλίσσεται ἀλλότριον φῶς* 48 *νύκτα δὲ γ α ῖ α τίθησιν ὑφισταμένη φαέεσσι* 115.10 *γ α ῖ α δ' ἐς αὐγὰς ἠελίου φαέθοντος* Πυθαγόρειοι A 37 (DK I 462,8) *ἀντίχθονα δὲ τὴν σελήνην . . . καὶ αἰθερίαν γ ῆ ν* Ἀναξαγόρας 15.2 *τὸ μὲν πυκνὸν καὶ διερὸν καὶ ψυχρὸν καὶ τὸ ζοφερὸν ἐνθάδε συνεχώρησεν, ἔνθα νῦν ‹ἡ γ ῆ›, τὸ δὲ ἀραιὸν καὶ τὸ θερμὸν καὶ τὸ ξηρὸν ἐξεχώρησεν εἰς τὸ πρόσω τοῦ αἰθέρος* **3** (ἀντιδιαστ. *θάλασσα, πόντος*). Ἡ στεριά, land, Ἡράκλειτος 31 *πυρὸς τροπαὶ πρῶτον θάλασσα, θαλάσσης δὲ τὸ μὲν ἥμισυ γ ῆ . . . ‹γ ῆ› θάλασσα διαχέεται καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γ ῆ* Ἐμπεδοκλῆς 38.3 *γ α ῖ ά τε καὶ πόντος πολυκύμων ἠδ' ὑγρὸς ἀὴρ* 55 *γ ῆ ς ἱδρῶτα θάλασσαν* 111.3 *ἀνέμων μένος οἵ τ' ἐπὶ γ α ῖ α ν ὀρνύμενοι* Ἀναξαγόρας 4.8 *καὶ τὴν γ ῆ ν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα* Διογένης 2.10 *οὔτε φυτὸν ἐκ τῆς γ ῆ ς φῦναι οὔτε ζῷον* **4.** Περιοχὴ τῆς γῆς/χώρα, region of earth/country, Ξενοφάνης 8.2 *ἀν' Ἑλλάδα γ ῆ ν* Δημόκριτος 247 *ἀνδρὶ σοφῷ πᾶσα γ ῆ βατὴ* **5.** Χῶμα, earth, Ἡράκλειτος 22 *χρυσὸν οἱ διζήμενοι γ ῆ ν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγον* Ἀναξαγόρας 4.17 *γ ῆ ς πολλῆς ἐνεούσης.*

Γηθοσύνη. Χαρὰ/Τέρψη (προσωποπ.), Joy/Delight (personif.), Ἐμπεδοκλῆς 17.24 *Γ η θ ο σ ύ ν η ν καλέοντες ἐπώνυμον ἠδ' Ἀφροδίτην.* Πρβλ. *Ἀφροδίτη, Φιλότης.*

γηραιός (ἀντίθ. *νέος*). Γερασμένος, old, Ἡράκλειτος 88.3 *καὶ νέον καὶ γ η ρ α ι ό ν.* Πρβλ. *γέρων, γηραλέος, παλαιός.*

γηραλέος. Ἡλικιωμένος/γέρος, elderly/old, Ξενοφάνης 1.18 *οὐχ ὕβρις πίνειν ὁπόσον κεν ἔχων ἀφίκοιο οἶκαδ' ἄνευ προπόλου μὴ πάνυ γ η ρ α λ έ ο ς.* Πρβλ. *γηραιός, γέρων.*

γῆρας (ἀντίθ. *νεότης*). Γήρας/γηρατειά, old age, Ἐμπεδοκλῆς

Ακαδημία Αθηνών / Academy of Athens

111.1 γ ή ρ α ο ς ἄλκαρ 152 γ ῆ ρ α ς ἡμέρας (sc. ἡ ἑσπέρα) Δημόκριτος 294.2 γ ή ρ α ο ς δὲ σωφροσύνη ἄνθος 295.2 ἐς γ ῆ ρ α ς ἀφίξεται 296.1 γ ῆ ρ α ς ὁλόκληρός ἐστι πήρωσις. Πρβλ. γηραιός.

γηράσκειν (τύπ. γηρᾶν). Γερνῶ, grow old, Ξενοφάνης 9 ἀνδρὸς γ η ρ έ ν τ ο ς Δημόκριτος 206 γ η ρ ά σ κ ε ι ν ἐθέλουσιν.

Γί(γ)νεσθαι (ἀντιδ. Εἶναι). Γίγνεσθαι, become, Ἡράκλειτος 1.4 γ ι ν ο μ έ ν ω ν γὰρ πάντων κατὰ τὸν λόγον 75 τοὺς καθεύδοντας . . . ἐργάτας εἶναι καὶ συνεργοὺς τῶν ἐν τῷ κόσμῳ γ ι ν ο μ έ ν ω ν 80 γ ι ν ό μ ε ν α πάντα κατ' ἔριν καὶ χρεών Λεύκιππος 2 οὐδὲν χρῆμα μάτην γ ί ν ε τ α ι, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης **1** (ἀντίθ. ὄλλυσθαι). Γίνομαι/γεννιέμαι, come into being, Ξενοφάνης 29 γῆ καὶ ὕδωρ πάντ' ἔσθ' ὅσα γ ι ν ο ν τ(α ι) ἠδὲ φύονται Ἡράκλειτος 20 γ ε ν ό μ ε ν ο ι ζώειν ἐθέλουσι μόρους τ' ἔχειν· καὶ παῖδας καταλείπουσι μόρους γ ε ν έ σ θ α ι 39 ἐν Πριήνῃ Βίας ἐ γ έ ν ε τ ο ὁ Τευτάμεω Παρμενίδης 8.13 οὐδέ ποτ' ἐκ μὴ ἐόντος ἐφήσει πίστιος ἰσχὺς γ ί γ ν ε σ θ α ί τι παρ' αὐτό· τοῦ εἵνεκεν οὔτε γ ε ν έ σ θ α ι οὔτ' ὄλλυσθαι ἀνῆκε Δίκη χαλάσασα πέδῃσιν 8.19-20 πῶς δ' ἂν ἔπειτ' ἀπόλοιτο ἐόν; πῶς δ' ἄν κε γ έ ν ο ι τ ο; εἰ γὰρ ἔ γ ε ν τ', οὐκ ἔστ(ι), οὐδ' εἴ ποτε μέλλει ἔσεσθαι 8.40 γ ί γ ν ε σ θ α ί τε καὶ ὄλλυσθαι 11 πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη . . . ὥρμήθησαν γ ί γ ν ε σ θ α ι Μέλισσος 1 εἰ γὰρ ἐ γ έ ν ε τ ο, ἀναγκαῖόν ἐστι πρὶν γ ε ν έ σ θ α ι εἶναι μηδέν· εἰ τοίνυν μηδὲν ἦν, οὐδαμὰ ἂν γ έ ν ο ι τ ο οὐδὲν ἐκ μηδενὸς 2 ὅτε τοίνυν οὐκ ἐ γ έ ν ε τ ο, ἔστι τε καὶ ἀεὶ ἦν καὶ ἀεὶ ἔσται καὶ ἀρχὴν οὐκ ἔχει οὐδὲ τελευτήν, ἀλλ' ἄπειρόν ἐστιν. εἰ μὲν γὰρ ἐ γ έ ν ε τ ο, ἀρχὴν ἂν εἶχεν (ἤρξατο γὰρ ἄν ποτε γ ε ν ό μ ε ν ο ν) καὶ τελευτὴν (ἐτελεύτησε γὰρ ἄν ποτε γ ε ν ό μ ε ν ο ν) 3 τὸ ποτὲ γ ε ν ό μ ε ν ο ν 7(2) εἰ γὰρ ἑτεροιοῦται, ἀνάγκη τὸ ἐὸν μὴ ὁμοῖον εἶναι, ἀλλὰ ἀπόλλυσθαι τὸ πρόσθεν ἐόν, τὸ δὲ οὐκ ἐὸν γ ί ν ε σ θ α ι 7(3) ὁ γὰρ κόσμος ὁ πρόσθεν ἐὼν οὐκ ἀπόλλυται οὔτε ὁ μὴ ἐὼν γ ί ν ε τ α ι 7 (5) ἀπὸ γὰρ ἂν ὅλοιτο τὸ ὑγιὲς καὶ τὸ ἐόν, τὸ δὲ οὐκ ἐὸν γ έ ν ο ι τ ο 8(3) καὶ τὸ ζῶον ἀποθνῄσκειν καὶ ἐκ μὴ ζῶντος γ ί ν ε σ θ α ι . . . ἐξ ὕδατός τε γῆ καὶ λίθος γ ί ν ε σ θ α ι 8(6) ἦν δὲ μεταπέσῃ, τὸ μὲν ἐὸν ἀπώλετο, τὸ

Ακαδημία Αθηνών / Academy of Athens

δὲ οὐκ ἐὸν γ ἐ γ ο ν ε ν 'Εμπεδοκλῆς 9.3 *τότε μὲν τὸ <λέγουσι> γ ε ν ἐ σ θ α ι* 11 *οἳ δὴ γ ί γ ν ε σ θ α ι πάρος οὐκ ἐὸν ἐλπίζουσιν* 12 *ἔκ τε γὰρ οὐδάμ' ἐόντος ἀμήχανόν ἐστι γ ε ν ἐ σ θ α ι* 17.11 *τῇ μὲν γ ί γ ν ο ν τ α ί τε καὶ οὔ σφισιν ἔμπεδος αἰὼν* 26.4 *γ ί ν ο ν τ(α ι) ἄνθρωποί τε καὶ ἄλλων ἔθνεα θηρῶν* 71.3-4 *πῶς ὕδατος γαίης τε καὶ αἰθέρος ἡλίου τε κιρναμένων εἴδη τε γ ε ν ο ί α τ ο χροιά τε θνητῶν τόσσ', ὅσα νῦν γ ε γ ά α σ ι συναρμοσθέντ' Ἀφροδίτῃ* 89 *γνούς, ὅτι πάντων εἰσὶν ἀπορροαί, ὅσσ' ἐ γ έ ν ο ν τ ο* 124 *τοίων ἔκ τ' ἐρίδων ἔκ τε στοναχῶν ἐ γ έ ν ε σ θ ε* 'Αναξαγόρας 17 *τὸ δὲ γ ί ν ε σ θ α ι καὶ ἀπόλλυσθαι οὐκ ὀρθῶς νομίζουσιν οἱ "Ελληνες· οὐδὲν γὰρ χρῆμα γ ί ν ε τ α ι οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται. καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γ ί ν ε σ θ α ι συμμίσγεσθαι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι* Διογένης 2.10 *οὐδ' ἂν οὔτε φυτὸν ἐκ τῆς γῆς φῦναι οὔτε ζῷον οὔτε ἄλλο γ ε ν ἐ σ θ α ι οὐδὲν* 7 *τῶν δὲ τὰ μὲν γ ί ν ε τ α ι, τὰ δὲ ἀπολείπει* Δημόκριτος A 99 a (DK II 108,21) *τὸν αὐτὸν τρόπον . . . γ ε ν ἐ σ θ α ι καὶ τὰ θαυμαστὰ καὶ τὰ παραλογώτατα τῆς φύσεως* 144 *μουσικὴν . . . νεωτέραν εἶναι . . . μὴ ἀποκρῖναι τἀναγκαῖον, ἀλλὰ ἐκ τοῦ περιεῦντος ἤδη γ ε ν ἐ σ θ α ι* 277 *ἀνάγκη γάρ, ὃς* (sc. *παῖς*) *ἂν γ έ ν η τ α ι, τούτῳ χρῆσθαι* 278.5 *ἀλλ' ὅταν γ έ ν η τ α ι* (sc. *ἔκγονα*), *ταλαιπωρεῖ καὶ τρέφει ἕκαστον ὡς δύναται* 'Εμπεδοκλῆς 23.10 *ὅσσα γε δῆλα γ ε γ ά κ α σ ι ν ἄσπετα* 38 *ἐξ ὧν δῆλ' ἐ γ έ ν ο ν τ ο τὰ νῦν ἐσορῶμεν ἅπαντα* **2.** Γίνομαι/προκύπτω, grow out of/result from, Ξενοφάνης 2.20 *σμικρὸν δ' ἄν τι πόλει χάρμα γ έ ν ο ι τ'* 'Εμπεδοκλῆς 26.10 *τῇ μὲν γ ί γ ν ο ν τ α ί τε καὶ οὔ σφισιν ἔμπεδος αἰὼν* 88 *μία γ ί γ ν ε τ α ι ἀμφοτέρων ὀπῶ* 98.5 *ἐκ τῶν αἷμά τε γ έ ν τ ο καὶ ἄλλης εἴδεα σαρκὸς* Φιλόλαος 6.9 *εἰ μὴ ἁρμονία ἐπεγένετο ὡτινιῶν ἅδε τρόπῳ ἐ γ έ ν ε τ ο* 'Αναξαγόρας 10 *πῶς γὰρ ἂν ἐκ μὴ τριχὸς γ έ ν ο ι τ ο θρὶξ* Διογένης 2.9 *οὔτε ὠφέλησις τῷ ἑτέρῳ <γ ε ν έ σ θ α ι ἀπὸ τοῦ ἑτέρου> οὔτε βλάβη* Δημόκριτος A 135 (DK II 116,27) περὶ δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦτον εἴρηκεν ὅτι *γ ί ν ε τ α ι συμμέτρως ἐχούσης τῆς ψυχῆς κατὰ τὴν κρῆσιν* 2 *Τριτογένεια . . . φρόνησις . . . γ ί ν ε τ α ι δὲ ἐκ τοῦ φρονεῖν τρία ταῦτα* 157 *ἀφ' ὧν τὰ μεγάλα καὶ λαμπρὰ γ ί ν ο ν τ α ι τοῖς ἀνθρώποις* 172 *ἀφ' ὧν ἡμῖν τἀγαθὰ γ ί γ ν ε τ α ι* 178 *ἐξ ὧν ἡ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

κακότης γ ί ν ε τ α ι 179 *μάλα γὰρ ἐκ τούτων φιλεῖ γ ί γ ν ε σ θ α ι ἢ αἰδὼς* 191.2 *ἀνθρώποισι γὰρ εὐθυμίῃ γ ί ν ε τ α ι μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ* 194 *αἱ μεγάλαι τέρψεις ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γ ί ν ο ν τ α ι* 278.10 *ὥστε καὶ ἐπαύρεσίν τινα γ ί γ ν ε σ θ α ι ἀπὸ τοῦ ἐκγόνου* **3.** Γίνομαι/μεταβάλλομαι, become/alter, Ἡράκλειτος 7 *εἰ πάντα καπνὸς γ έ ν ο ι τ ο, ῥῖνες ἂν διαγνοῖεν* 31 *γῇ θάλασσα διαχέεται, καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον ὁκοῖος πρόσθεν ἦν ἢ γ ε ν έ σ θ α ι γῇ* 36 *ψυχῇσιν θάνατος ὕδωρ γ ε ν έ σ θ α ι, ὕδατι δὲ θάνατος γῆν γ ε ν έ σ θ α ι, ἐκ γῆς δὲ ὕδωρ γ ί ν ε τ α ι, ἐξ ὕδατος δὲ ψυχή* 77 *ψυχῇσι . . . τέρψιν ἢ θάνατον ὑγρῇσι γ ε ν έ σ θ α ι* Μέλισσος 8 (3) *δοκεῖ δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γ ί ν ε σ θ α ι* Ἐμπεδοκλῆς 17.35 *γ ί γ ν ε τ α ι ἄλλοτε ἄλλα καὶ ἠνεκὲς αἰὲν ὁμοῖα* 82 *ταὐτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ πυκνὰ καὶ λεπίδες γ ί γ ν ο ν τ α ι ἐπὶ στιβαροῖσι μέλεσσιν* 96 *τὰ δ' ὀστέα λευκὰ γ έ ν ο ν τ ο Ἁρμονίης κόλλῃσιν ἀρηρότα θεσπεσίηθεν* 127 *ἐν θήρεσσι λέοντες ὀρειλεχέες χαμαιεῦναι γ ί γ ν ο ν τ α ι, δάφναι δ' ἐνὶ δένδρεσιν ηὐκόμοισιν* **4.** Γίνομαι/ἀποκτῶ (νέα) ἰδιότητα ἢ ποιότητα, become/acquire a (new) property or quality, Ἡράκλειτος 1.1 *τοῦ δὲ λόγου τοῦδ' ἐόντος ἀεὶ ἀξύνετοι γ ί ν ο ν τ α ι ἄνθρωποι* 63 *ἔνθα δ' ἐόντι ἐπανίστασθαι καὶ φύλακας γ ί γ ν ε σ θ α ι ζώντων καὶ νεκρῶν* Μέλισσος 7(2) *καὶ οὔτ' ἂν ἀπόλοιτο οὔτε μεῖζον γ ί ν ο ι τ ο* 7(3) *εἰ μὲν γάρ τι ἐ γ ί ν ε τ ο ἑτεροῖον, ἤδη ἂν καὶ μετακοσμηθείη* 7(8) *τὸ ἀραιόν γε κενεώτερον γ ί ν ε τ α ι τοῦ πυκνοῦ* 8(2) *καὶ μὴ μεταπίπτειν μηδὲ γ ί ν ε σ θ α ι ἑτεροῖον, ἀλλὰ ἀεὶ εἶναι ἕκαστον* Ἐμπεδοκλῆς 21.14 *δι' ἀλλήλων δὲ θέοντα γ ί γ ν ε τ α ι ἀλλοιωπὰ* Διογένης 2.13 *ἄλλοτε ἀλλοῖα γ ί ν ε τ α ι καὶ εἰς τὸ αὐτὸ ἀναχωρεῖ* 5.17-19 *οὐ μέντοι ἀτρεκέως γε ὅμοιον οὐδὲν οἷόν τε γ ε ν έ σ θ α ι τῶν ἑτεροιουμένων ἕτερον τῷ ἑτέρῳ, πρὶν τὸ αὐτὸ γ έ ν η τ α ι* 6.46 *αἱ δὲ φλέβες αἱ μὲν πρῶται ἐκ τῆς κοιλίας εὐρύτεραί εἰσιν, ἔπειτα λεπτότεραι γ ί γ ν ο ν τ α ι* 6.50 *λεπτὸν καὶ θερμὸν καὶ ἀφρῶδες γ ί ν ε τ α ι* Δημόκριτος 51 *ἰσχυρότερος ἐς πειθὼ λόγος πολλαχῇ γ ί ν ε τ α ι χρυσοῦ* 76 *νηπίοισιν οὐ λόγος, ἀλλὰ ξυμφορὴ γ ί ν ε τ α ι διδάσκαλος* 91 *μὴ ὕποπτος πρὸς ἅπαντας, ἀλλ' εὐλαβὴς γ ί ν ο υ καὶ ἀσφαλὴς* 154 *μαθητὰς ἐν τοῖς μεγίστοις γ ε γ ο ν ό τ α ς ἡμᾶς* 155 *εἰ κῶνος*

Ακαδημία Αθηνών / Academy of Athens

τέμνοιτο παρὰ τὴν βάσιν ἐπιπέδῳ, τί χρὴ διανοεῖσθαι τὰς τῶν τμημάτων ἐπιφανείας, ἴσας ἢ ἀνίσους γ ι γ ν ο μ έ ν α ς 159 εἰ τοῦ σώματος αὐτῇ δίκην λαχόντος, παρὰ πάντα τὸν βίον ὧν ὠδύνηται ‹καὶ› κακῶς πέπονθεν, αὐτὸς γ έ ν ο ι τ ο τοῦ ἐγκλήματος ‹δικαστὴς› 169 μὴ πάντα ἐπίστασθαι προθυμέο, μὴ πάντων ἀμαθὴς γ έ ν ῃ 181 συνέσει τε καὶ ἐπιστήμῃ ὀρθοπραγέων τις ἀνδρεῖος ἅμα καὶ εὐθύγνωμος γ ί γ ν ε τ α ι 224 ἡ τοῦ πλέονος ἐπιθυμίη τὸ παρεὸν ἀπόλλυσι τῇ Αἰσωπείῃ κυνὶ ἰκέλη γ ι ν ο μ έ ν η 228 οἱ τῶν φειδωλῶν παῖδες ἀμαθέες γ ι ν ό μ ε ν ο ι, ὥσπερ οἱ ὀρχησταὶ 233 εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γ ί γ ν ο ι τ ο 234 ἀκρασίῃ δὲ τἀναντία πρήσσοντες αὐτοὶ προδόται τῆς ὑγείης τῇσιν ἐπιθυμίῃσιν γ ί ν ο ν τ α ι 235.4 αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γ ί ν ο ν τ α ι 241 πόνος συνεχὴς ἐλαφρότερος ἑαυτοῦ συνηθείῃ γ ί ν ε τ α ι 242 πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γ ί ν ο ν τ α ι ἢ ἀπὸ φύσιος 254 οἱ κακοὶ ἰόντες ἐς τὰς τιμάς . . . ἀνακηδέες γ ί γ ν ο ν τ α ι 255 ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτίρειν ἔνεστι καὶ μὴ ἐρήμους εἶναι καὶ τὸ ἑταίρους γ ί γ ν ε σ θ α ι 279 ἅμα μὲν γὰρ πολλὸν φειδότεροι γ ί γ ν ο ν τ α ι ἐς τὰ χρήματα 'Αρχύτας 2.14 γ ί ν ε τ α ι δ' ἐν ταύτᾳ τᾷ ἀναλογίᾳ τὸ τῶν μειζόνων ὅρων διάστημα μεῖζον 3.2 δεῖ γὰρ ἢ μαθόντα παρ' ἄλλω ἢ αὐτὸν ἐξευρόντα, ὧν ἀνεπιστάμων ἦσθα, ἐπιστάμονα γ ε ν έ σ θ α ι. ‖ 'Εμπεδοκλῆς 26.7 εἰσόκεν ἓν συμφύντα τὸ πᾶν ὑπένερθε γ έ ν η τ α ι Δημόκριτος 266.4-7 αὐτὸν ἐφ' ἑτέροισι γ ί γ ν ε σ θ α ι . . . μὴ ὑπ' ἐκείνους γ ε ν ή σ ε τ α ι **5.** Γίνεται/συμβαίνει/πραγματώνεται, come about/happen/be realized, 'Αναξίμανδρος 1 ἐξ ὧν δὲ ἡ γένεσίς ἐστι τοῖς οὖσι, καὶ τὴν φθορὰν εἰς ταῦτα γ ί ν ε σ θ α ι κατὰ τὸ χρεών 'Ηράκλειτος 110 ἀνθρώποις γ ί ν ε σ θ α ι ὁκόσα θέλουσιν οὐκ ἄμεινον 'Αρχύτας 1.12-13 οὐ δυνατόν ἐστιν ἦμεν ψόφον μὴ γ ε ν η θ ε ί σ α ς πληγᾶς τινων ποτ' ἄλλαλα, πλαγὰν δ' ἔφαν γ ί ν ε σ θ α ι, ὅκκα 3.8 πλεονεξία τε γὰρ οὐκ ἔστι τούτου γ ε ν ο μ έ ν ο υ καὶ ἰσότας ἔστιν Δημόκριτος 127 ξυόμενοι ἄνθρωποι ἥδονται καί σφιν γ ί ν ε τ α ι ἅπερ τοῖς ἀφροδισιάζουσιν 193 φρονήσιος ἔργον μέλλουσαν ἀδικίην φυλάξασθαι, ἀναλγησίης δὲ γ ε ν ο μ έ ν η ν μὴ ἀμύνασθαι 209 αὐταρκείῃ τροφῆς σμικρὴ νύξ (;) οὐδέποτε γ ί ν ε τ α ι 232 τῶν ἡδέων τὰ σπανιώτατα γ ι ν ό μ ε ν α μάλιστα τέρ-

Ακαδημία Αθηνών / Academy of Athens

πει 235.7 *καὶ ὁκόταν γ ἐ ν η τ α ι ὁκοίων ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡδονὴ παροίχεται* 253 *εἰ δὲ ἀμελέοι τις τῶν δημοσίων, κακῶς ἀκούειν γ ί γ ν ε τ α ι* 288 *νόσος οἶκου καὶ βίου γ ί ν ε τ α ι ὅκωσπερ καὶ σκήνεος* **6.** Γίνομαι/εἶμαι, become/be, *Ἡράκλειτος* 56 *Ὁμήρῳ, ὃς ἐ γ έ ν ε τ ο τῶν Ἑλλήνων σοφώτερος πάντων* Ἐμπεδοκλῆς 35.4 *ἐν δὲ μέσῃ Φιλότης στροφάλιγγι γ έ ν η τ α ι* 111.1 *φάρμακα δ' ὅσσα γ ε γ ᾶ σ ι κακῶν καὶ γήραος ἄλκαρ πεύσῃ* 117 *ἤδη γάρ ποτ' ἐγὼ γ ε ν ό μ η ν κοῦρός τε κόρη τε* Φιλόλαος 6.5 *οὐχ οἷόν τ' ἦν οὐθὲν τῶν ἐόντων καὶ γιγνωσκόμενον ὑφ' ἁμῶν γα γ ε ν έ σ θ α ι μὴ ὑπαρχούσας τᾶς ἑστοῦς τῶν πραγμάτων* Ἀναξαγόρας 6.5 *οὐκ ἂν δύναιτο χωρισθῆναι, οὐδ' ἂν ἐφ' ἑαυτοῦ γ ε ν έ σ θ α ι* Δημόκριτος 295 *ὁ γέρων νέος ἐ γ έ ν ε τ ο* Ἀρχύτας A 24 (DK I 431,1) *ἐν τῷ ἐσχάτῳ . . . τῷ ἀπλανεῖ οὐρανῷ γ ε ν ό μ ε ν ο ς* 1.56 *φανερὸν ἁμῖν ἐκ πολλῶν γ έ γ ο ν ε ν.*

γι(γ)νώσκειν (συνών. *γνωρίζειν*) **1.** Γνωρίζω/ἀναγνωρίζω, know/recognize/acknowledge, Ξενοφάνης 7.5 *φίλου ἀνέρος ἐστὶν ψυχή, τὴν ἔ γ ν ω ν φθεγξαμένης ἀίων* Ἡράκλειτος 97 *κύνες καταβαΰζουσιν ὃν ἂν μὴ γ ι ν ώ σ κ ω σ ι* Δημόκριτος 116 *ἦλθον γὰρ εἰς Ἀθήνας καὶ οὔ τις με ἔ γ ν ω κ ε ν* **2.** Γνωρίζω/ἐννοῶ, understand, Ἡράκλειτος 5 *οὔ τι γ ι ν ώ σ κ ω ν θεοὺς οὐδ' ἥρωας οἵτινές εισι* 17 *οὐδὲ μαθόντες γ ι ν ώ σ κ ο υ σ ι ν* 28 *ὁ δοκιμώτατος γ ι ν ώ σ κ ε ι* 57 *ἡμέρην καὶ εὐφρόνην οὐκ ἐ γ ί ν ω σ κ ε ν ἔστι γὰρ ἓν* 108 *γ ι ν ώ σ κ ε ι ν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον* Παρμενίδης 2.7 *οὔτε γὰρ ἂν γ ν ο ί η ς τό γε μὴ ἐὸν* Μέλισσος 8(3) *μήτε ὁρᾶν μήτε τὰ ὄντα γ ι ν ώ σ κ ε ι ν* Ἀναξαγόρας 5 *γ ι ν ώ σ κ ε ι ν χρή, ὅτι πάντα οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ πλείω* 12 *πάντα ἔ γ ν ω νοῦς* Δημόκριτος 8 *ἑτεῇ οἷον ἕκαστον γ ι ν ώ σ κ ε ι ν ἐν ἀπόρῳ ἐστὶ* **3.** Γνωρίζω/μαθαίνω, recognize/learn, Ἐμπεδοκλῆς 4 *γ ν ῶ θ ι διασσηθέντος ἐνὶ σπλάχνοισι λόγοιο* 89 *γ ν ο ύ ς, ὅτι πάντων εἰσὶν ἀπορροαὶ ὅσσ' ἐγένοντο* Δημόκριτος 6 *γ ι ν ώ σ κ ε ι ν τε χρὴ ἄνθρωπον τῷδε τῷ κανόνι, ὅτι ἑτεῆς ἀπήλλακται* Ἀρχύτας 1.29 *οὐ μόνον δέ κα τούτῳ γ ν ο ί η μ ε ν* **4.** Γνωρίζω/ἔχω ἐπίγνωση, have knowledge/be aware of, Δημόκριτος 198 *ὁ δὲ χρῄζων οὐ γ ι ν ώ σ κ ε ι* 229 *ἐν και-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ρῷ δὲ καὶ δαπάνῃ· γ ι ν ώ σ κ ε ι ν δὲ ἀγαθοῦ 285 *γ ι ν ώ σ κ ε ι ν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν.* Πρβλ. *εἰδέναι.* ‖ **γι(γ)νώσκεσθαι.** Γίνομαι ἀντικείμενο γνώσης, become knowable, Ἡράκλειτος 86 *ἀπιστίῃ διαφυγγάνει μὴ γ ι ν ώ σ κ ε σ θ α ι* Φιλόλαος 3 *ἀρχὰν γὰρ οὐδὲ τὸ γ ν ω σ ο ύ μ ε ν ο ν ἐσσεῖται πάντων ἀπείρων ἐόντων* 4 *καὶ πάντα γα μὰν τὰ γ ι γ ν ω σ κ ό μ ε ν α ἀριθμὸν ἔχοντι· οὐ γὰρ οἷόν τε οὐδὲν οὔτε νοηθῆμεν οὔτε γ ν ω σ θ ῆ μ ε ν ἄνευ τούτου* 6 *οὐχ οἷόν τ' ἦν οὐθὲν τῶν ἐόντων καὶ γ ι γ ν ω σ κ ό μ ε ν ο ν ὑφ' ἁμῶν γα γενέσθαι* Ἀρχύτας 1.18 *πολλοὺς μὲν δὴ αὐτῶν οὐκ εἶναι ἁμῶν τᾷ φύσει οἵους τε γ ι γ ν ώ σ κ ε σ θ α ι.*

γλαυκός. Γλαυκόχροος/λαμπερός, azure/bright, Ξενοφάνης 16.2 *Θρῇκές τε γ λ α υ κ ο ὺ ς καὶ πυρροὺς* Ἐμπεδοκλῆς 93 *γ λ α υ κ ῆ ς . . . ἀκτῆς.* Πρβλ. *γλαυκῶπις.*

γλαυκῶπις. Μὲ λαμπερὰ μάτια, with bright eyes, Ἐμπεδοκλῆς 42 *γ λ α υ κ ώ π ι δ ο ς . . . μήνης.* Πρβλ. *γλαυκός.*

γλυκύς. Γλυκός, sweet, Ξενοφάνης 1.8 *ψυχρὸν δ' ἐστὶν ὕδωρ καὶ γ λ υ κ ὺ* 22.3 *πίνοντα γ λ υ κ ὺ ν* οἶνον Δημόκριτος 246 *λιμοῦ καὶ κόπου γ λ υ κ ύ τ α τ α ἰάματα.* ‖ **γλυκύ** *(τό).* Ἐμπεδοκλῆς 90 *ὡς γ λ υ κ ὺ μὲν γ λ υ κ ὺ μάρπτε* Δημόκριτος 9 *καὶ* 125 *νόμῳ γ λ υ κ ύ, νόμῳ πικρόν.*

γλῶσσα. Γλώσσα, tongue/diction, Παρμενίδης 7.4 *ἠχήεσσαν ἀκουὴν καὶ γ λ ῶ σ σ α ν* Ἐμπεδοκλῆς 3.1 *μανίην ἀποτρέψατε γ λ ώ σ σ η ς* 3.11 *ὑπὲρ τρανώματα γ λ ώ σ σ η ς* 39 *διὰ πολλῶν δὴ γ λ ώ σ σ α ς ἐλθόντα.* Πρβλ. *στόμα.* ‖ **γλῶσσαι.** Γλῶσσες, languages, Δημόκριτος 20 a (τίτλ.) *Περὶ Ὁμήρου ἢ ὀρθοεπείης καὶ γ λ ω σ σ έ ω ν.*

γναφεῖον. Ἐργαλεῖο τοῦ γναφέως, card, Ἡράκλειτος 59 *γ ν α φ ε ί ῳ ὁδὸς εὐθεῖα καὶ σκολιὴ μία ἐστὶ καὶ ἡ αὐτή.*

γνήσιος (συνών. *ἀληθής*, ἀντίθ. *σκότιος*). Γνήσιος/ἀληθινός, genuine, Δημόκριτος 11.1-3-8 *γνώμης δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γ ν η σ ί η, ἡ δὲ σκοτίη . . . ἡ δὲ γ ν η σ ί η . . . τότε ἐπιγίνεται ἡ γ ν η σ ί η.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

γνώμη 1. Λογισμός, reasoning, Ἡράκλειτος 41 *ἓν τὸ σοφόν· ἐπίστασθαι γ ν ώ μ η ν ὁτέη ἐκυβέρνησε πάντα διὰ πάντων* **2.** Ὀρθὴ γνώμη/κατανόηση, right opinion/understanding, Ἡράκλειτος 78 *ἦθος ἀνθρώπειον μὲν οὐκ ἔχει γ ν ώ μ α ς, θεῖον δὲ ἔχει* Ἀναξαγόρας 12.10 *καὶ γ ν ώ μ η ν γε περὶ παντὸς πᾶσαν ἴσχει* **3.** Γνώμη/δοξασία, opinion/belief, Παρμενίδης 8.53 *μορφὰς γὰρ κατέθεντο δύο γ ν ώ μ α ς ὀνομάζειν* 8.61 *ὡς οὐ μή ποτέ τίς σε βροτῶν γ ν ώ μ η παρελάσσῃ* **4.** Γνώση, knowledge/comprehension, Δημόκριτος 11 *γ ν ώ μ η ς δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γνησίη, ἡ δὲ σκοτίη* 1.11 (τίτλ.) *Περὶ διαφορῆς γ ν ώ μ η ς ἢ Περὶ ψαύσιος κύκλου καὶ σφαίρης* 26 d (τίτλ.) *Ἰητρικὴ γ ν ώ μ η* **5.** Γνώμη, view/judgement, Δημόκριτος 191.22 *ταύτης γὰρ ἐχόμενος τῆς γ ν ώ μ η ς εὐθυμότερόν τε διάξεις* 215 *δίκης κῦδος γ ν ώ μ η ς θάρσος καὶ ἀθαμβίη* 223.5 *ἡ τῆς γ ν ώ μ η ς κακοθιγίη(;)* Ἀνάξαρχος 1.6 *οὐ τιθέμενοι ἐν σοφίῃ γ ν ώ μ η ν.* ‖ **γνῶμαι.** Γνωμικά, opinions Δημόκριτος 35 *γ ν ω μ έ ω ν μευ τῶνδε.* ‖ **Ἔχειν τὴν γνώμην.** Ἐπιδιώκω/ἔχω στραμμένο τὸ νοῦ, pursue/devote the mind to, Δημόκριτος 191.7 *ἐπὶ τοῖς δυνατοῖς οὖν δεῖ ἔχειν τὴν γ ν ώ μ η ν καὶ τοῖς παρεοῦσιν ἀρκέεσθαι.* Πρβλ. *ἔχειν.*

γνωμικός. Αὐτὸς ποὺ καθιστᾶ κάτι προσιτὸ στὴ γνώση, who makes something knowable, Φιλόλαος 11.7 *γ ν ω μ ι κ ὰ γὰρ ἁ φύσις ἁ τῶ ἀριθμῶ.*

γνώμων. Γνώμων/κανών, guiding rule, Φιλόλαος 11.13 *κατὰ γ ν ώ μ ο ν ο ς φύσιν ἀπεργάζεται.*

γνωρίζειν. Ἀναγνωρίζω, recognize, Δημόκριτος 56 *τὰ καλὰ γ ν ω ρ ί ζ ο υ σ ι . . . οἱ εὐφυέες πρὸς αὐτὰ* 115 *ἢν μὴ γ ν ω ρ ί ζ ῃ ς τοὺς ἐπαίνους.*

γνῶσις (συνών. *γνώμη*). Γνώση, knowledge/recognition, Ἡράκλειτος 56.2 *ἐξηπάτηνται οἱ ἄνθρωποι πρὸς τὴν γ ν ῶ σ ι ν τῶν φανερῶν* Φιλόλαος 6.3 *αὐτὰ μὲν ἁ φύσις θείαν γα καὶ οὐκ ἀνθρωπίνην ἐνδέχεται γ ν ῶ σ ι ν.* Πρβλ. *γιγνώσκειν, νόησις.*

γνωστός. Προσιτὸς στὴ γνώση, knowable/comprehensible,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Φιλόλαος 11.12 *πάντα γ ν ω σ τ ὰ καὶ ποτάγορα ἀλλάλοις κατὰ γνώμονος φύσιν ἀπεργάζεται.*

γόμφος. Συνδετικὴ σφήνα, connecting boet/clamp, Παρμενίδης 1.20 *γ ό μ φ ο ι ς καὶ περόνῃσιν ἀρηρότε* Ἐμπεδοκλῆς 87 *γ ό μ φ ο ι ς ἀσκήσασα καταστόργοις Ἀφροδίτη.* Πρβλ. *γομφοῦν.*

γομφοῦν. Συμπηγνύω/πήζω, coagulate/curdle, Ἐμπεδοκλῆς 33 *ὀπὸς γάλα λευκὸν ἐ γ ό μ φ ω σ ε ν.*

γονή. Γονιμοποίηση, fertilization, Δημόκριτος A 151 (DK II 125,17) *ἐπὶ τὴν τῆς γ ο ν ῆ ς αὐτῶν συνήθειαν* 122 a *γυνὴ . . . γ ο ν ή τις οὖσα, ἡ γ ο ν ῆ ς δεκτική.* Πρβλ. *ἔκγονον.*

γόνυ. Γόνατο, knee, Ἐμπεδοκλῆς 29.2, 134.3 *οὐ θοὰ γ ο ῦ ν(α)* Διογένης 6.21 *παρὰ τὸ γ ό ν υ τείνουσιν.*

γράμμα 1. Γράμμα τοῦ ἀλφαβήτου, letter of the alphabet, Δημόκριτος 18 b (τίτλ.) *Περὶ εὐφώνων καὶ δυσφώνων γ ρ α μ μ ά τ ω ν.* ‖ **γράμματα μανθάνειν.** Μαθαίνω γράμματα, learn lessons, Δημόκριτος 179 *οὔτε γ ρ ά μ μ α τ' ἂν μ ά θ ο ι ε ν οὔτε μουσικὴν οὔτε ἀγωνίην* **2.** Σύγγραμμα, treatise, Δημόκριτος 1 (τίτλ.) *ἐν τοῖς Περὶ τοῦ Ἄιδου γ ρ ά μ μ α σ ι ν.*

γραμμή. Γραμμή, line, Δημόκριτος 11 p (τίτλ.) *Περὶ ἀλόγων γ ρ α μ μ ῶ ν καὶ ναστῶν A B.*

γράφειν. Ζωγραφίζω/γράφω, paint/write, Ξενοφάνης 15.2 *γ ρ ά ψ α ι χείρεσι . . . θεῶν ἰδέας ἔ γ ρ α φ ο ν* Δημόκριτος 18 ποιητὴς δὲ ἄσσα μὲν ἂν *γ ρ ά φ η.* ‖ **γράφεσθαι.** Γράφομαι/θεσπίζομαι, be written/be decreed. Δημόκριτος 259.3 *ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων γ ε γ ρ ά φ α τ α ι τῶν πολεμίων.* ‖ **γραπτός.** Ζωγραφισμένος, painted, Ἐμπεδοκλῆς 128.5 *γ ρ α π τ ο ῖ ς τε ζῴοισι.*

γραφεύς. Ζωγράφος, painter, Ἐμπεδοκλῆς 23.1 *ὡς δ' ὁπόταν γ ρ α φ έ ε ς ἀναθήματα ποικίλλωσιν.* Πρβλ. *γράφειν.*

γυῖα 1. Τὰ μέλη τοῦ σώματος, parts of the body/organs, Ἐμπεδοκλῆς 2.1 *στεινωποὶ μὲν γὰρ παλάμαι κατὰ γ υ ῖ α κέχυνται* 3.13 *μήτε τι τῶν ἄλλων, ὁπόσῃ πόρος ἐστὶ νοῆσαι, γ υ ί ω ν πί-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

στιν ἔρυκε 20.3 *Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα γ υ ῖ α* 27.1 *ἠελίοιο διείδεται ὠκέα γ υ ῖ α* 31 *γ υ ῖ α θεοῖο* 58 *γ υ ῖ α ἐπλανᾶτο* 100.22 *αἷμα κλαδασσόμενον διὰ γ υ ί ω ν* 128.10 *ἠέα γ υ ῖ α* 134.1 *οὐδὲ γὰρ ἀνδρομέῃ κεφαλῇ κατὰ γ υ ῖ α κέκασται* **2.** Τὰ χέρια, hands, 'Εμπεδοκλῆς 115.3 *εὖτέ τις ἀμπλακίῃσι φόνῳ φίλα γ υ ῖ α μιήνῃ* **3.** Γεννητικὰ ὄργανα, genitals/organs of reproduction, 'Εμπεδοκλῆς 61.4 *πολλὰ μὲν ἀμφιπρόσωπα καὶ ἀμφίστερνα φύεσθαι, βουγενῆ ἀνδρόπρῳρα, τὰ δ' ἔμπαλιν ἐξανατέλλειν ἀνδροφυῆ βούκρανα, μεμειγμένα τῇ μὲν ἀπ' ἀνδρῶν τῇ δὲ γυναικοφυῆ σκιεροῖς ἠσκημένα γ υ ί ο ι ς.* ‖ **γυῖον.** 'Εμπεδοκλῆς 62.8 *τοὺς μὲν πῦρ ἀνέπεμπε θέλον πρὸς ὅμοιον ἱκέσθαι, οὔτε τί πω μελέων ἐρατὸν δέμας ἐμφαίνοντας οὔτ' ἐνοπὴν οἷόν τ' ἐπιχώριον ἀνδράσι γ υ ῖ ο ν.* Πρβλ. *αἰδοῖον, μῆδος.*

γυμνός. Γυμνός, naked, 'Εμπεδοκλῆς 57 *γ υ μ ν ο ὶ . . . βραχίονες.*

γυναικοφυής. Γυναικοφυής/γυναικόμορφος, of female nature, 'Εμπεδοκλῆς 61.4 *τῇ μὲν ἀπ' ἀνδρῶν τῇ δὲ γ υ ν α ι κ ο φ υ ῆ.*

γυνή. Γυναίκα, woman, 'Εμπεδοκλῆς 21.10 *ἀνέρες ἠδὲ γ υ ν α ῖ κ ε ς* 23.6 *δένδρεά τε κτίζοντε καὶ ἀνέρας ἠδὲ γ υ ν α ῖ κ α ς* 62.1 *ἀνδρῶν τε πολυκλαύτων τε γ υ ν α ι κ ῶ ν* 65.1 *τὰ μὲν τελέθουσι γ υ ν α ῖ κ ε ς* 112.8 *ἀνδράσιν ἠδὲ γ υ ν α ι ξ ί, σεβίζομαι* Διογένης 6.44 *ἕτεραι* (sc. *φλέβες*) . . . *τελευτῶσιν εἰς τοὺς ὄρχεις τοῖς ἀνδράσι, ταῖς δὲ γ υ ν α ι ξ ὶ ν εἰς τὰς ὑστέρας* Δημόκριτος 122 *γ υ ν ὴ ἢ . . . γονή τις οὖσα, ἡ γονῆς δεκτικὴ* 110 *γ υ ν ὴ μὴ ἀσκείτω λόγον· δεινὸν γὰρ* 111 *ὑπὸ γ υ ν α ι κ ὸ ς ἄρχεσθαι ὕβρις εἴη ἂν ἀνδρὶ ἐσχάτη* 214.3 *ἔνιοι δὲ πολίων μὲν δεσπόζουσι, γ υ ν α ι ξ ὶ δὲ δουλεύουσιν* 273 *γ υ ν ὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην* 274 *κόσμος ὀλιγομυθίη γ υ ν α ι κ ί.* Πρβλ. *θῆλυ, κόρη.*

γωνία. Γωνία, angle, Δημόκριτος 155 a *καὶ ἡ σφαῖρα ὡς γ ω ν ί α τις οὖσα τέμνει.*

γωνοειδής. Γωνιοειδής, angular, Δημόκριτος A 135 (65) (DK II 118,5) *τὸν μὲν οὖν ὀξὺν εἶναι τῷ σχήματι γ ω ν ο ε ι δ ῆ τε καὶ πολυκαμπῆ . . . τραχὺν δ' ὄντα καὶ γ ω ν ο ε ι δ ῆ.*

Ακαδημία Αθηνών / Academy of Athens

Δ

δαερός (συνών. *θερμός*). Θερμός, hot, 'Εμπεδοκλῆς 90 *δ α ε ρ ὸ ν δ' ἐποχεῖτο δ α η ρ ῷ*. Πρβλ. *δαίειν*.

δαήμων (ἀντίθ. *ἀδαήμων*). Γνώστης, he who understands/judges rightly, Δημόκριτος 197 *ἀνοήμονες ῥυσμοῦνται τοῖς τῆς τύχης κέρδεσιν, οἱ δὲ τῶν τοιῶνδε δ α ή μ ο ν ε ς τοῖς τῆς σοφίης*. Πρβλ. *ἀνοήμων, (δάω) δεδαώς*.

δάειν. Γνωρίζω, cognize, 'Εμπεδοκλῆς 17.25 *τὴν οὔ τις . . . δ ε δ ά η κ ε θνητὸς ἀνήρ*. ‖ **δεδαώς.** Γνώστης/ἔμπειρος, expert/skillful, 'Εμπεδοκλῆς 23.2 *ἀνέρες . . . εὖ δ ε δ α ῶ τ ε*.

δαιδαλέοδμος. Ποικιλεύοσμος, multiscented, 'Εμπεδοκλῆς 128.7 *μύροισί τε δ α ι δ α λ ε ό δ μ ο ι ς*.

δαίειν. Λάμπω, radiate/shine, 'Εμπεδοκλῆς 130 *ἦσαν δὲ κτίλα πάντα καὶ ἀνθρώποισι προσηνῆ, θῆρές τ' οἰωνοί τε, φιλοφροσύνη τε δ ε δ ή ε ι*.

δαιμόνιος (ἀντίθ. *ἀνθρώπινος, ἀνθρωπικός*). Ὑπερφυσικός, supernatural, Φιλόλαος 11.16 *ἴδοις δέ κα οὐ μόνον ἐν τοῖς δ α ι μ ο ν ί ο ι ς καὶ θείοις πράγμασι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν, ἀλλὰ καὶ ἐν τοῖς ἀνθρωπικοῖς ἔργοις καὶ λόγοις*. Πρβλ. *θεῖος, δαίμων*.

δαίμων. Θεὸς-θεὰ/δαίμων, god-goddess/daemon, 'Ηράκλειτος 79 *ἀνὴρ νήπιος ἤκουσε πρὸς δ α ί μ ο ν ο ς ὅκωσπερ παῖς πρὸς ἀνδρὸς* Παρμενίδης 1.3 *ἐπεὶ μ' ἐς ὁδὸν βῆσαν πολύφημον ἄγουσαι δ α ί μ ο ν ο ς, ἣ κατὰ πάντ' ἄστη φέρει εἰδότα φῶτα* 12.3 *ἐν δὲ μέσῳ τούτων δ α ί μ ω ν ἣ πάντα κυβερνᾷ*. ‖ 'Ηράκλειτος 119 *ἦθος ἀνθρώπῳ δ α ί μ ω ν* Δημόκριτος 171 *εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν οἰκεῖ οὐδὲ ἐν χρυσῷ· ψυχὴ οἰκητήριον δ α ί μ ο ν ο ς*. ‖ 'Εμπεδοκλῆς 59 *αὐτὰρ ἐπεὶ κατὰ μεῖζον ἐμίσγετο δ α ί-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

μ ο ν ι δ α ί μ ω ν 115 *εὖτέ τις ἀμπλακίῃσι φόνῳ φίλα γυῖα μιήνῃ . . . δ α ί μ ο ν ε ς οἵτε μακραίωνος λελάχασι βίοιο* Πυθαγόρειοι C 2 (DK I 463,3) *τὸν δ' ἐκ χαλκοῦ . . . ἦχον φωνὴν εἶναί τινος τῶν δ α ι μ ό ν ω ν ἐναπειλημμένην τῷ χαλκῷ.*

δαίς. Ἔδεσμα/γεῦμα, food/feast, Ἐμπεδοκλῆς 137.4 *σφάξας ἐν μεγάροισι κακὴν ἀλεγύνατο δ α ῖ τ α.*

δαΐφρων. Σοφὸς/συνετός, wise/prudent, Ἐμπεδοκλῆς 1 *δ α ΐ φ ρ ο ν ο ς Ἀγχίτεω υἱέ.* Πρβλ. *δαήμων, δεδάηκε.*

δάκρυον. Δάκρυ, tear, Ἐμπεδοκλῆς 6.3 *Νῆστίς θ', ἣ δ α κ ρ ύ ο ι ς τέγγει κρούνωμα βρότειον* Πυθαγόρειοι C 2 (DK I 463, 1) ὅτι τὴν θάλατταν μὲν ἐκάλει εἶναι *δ ά κ ρ υ ο ν.* Πρβλ. *ἱδρώς, κρούνωμα.*

δάκτυλος. Δάκτυλο χεριοῦ ἢ ποδιοῦ, finger or toe, Μέλισσος 8(3) *τῷ δ α κ τ ύ λ ῳ κατατρίβεσθαι* Διογένης 6.13-14 *ἐπὶ τὸν μέγαν δ ά κ τ υ λ ο ν . . . ἐπὶ τὴν ἄλλην χεῖρα καὶ δ α κ τ ύ λ ο υ ς* 6.24 *καὶ ἐντεῦθεν ἐπὶ τοὺς δ α κ τ ύ λ ο υ ς διατείνουσιν* (sc. *αἱ φλέβες*).

δάμνασθαι. Κατισχύω, prevail, Παρμενίδης 7.1 *οὐ γὰρ μήποτε τοῦτο δ α μ ῇ εἶναι μὴ ἐόντα.*

δαπάνη. Δαπάνη, expenditure, Δημόκριτος 229 *φειδώ τοι καὶ λιμὸς χρηστή· ἐν καιρῷ δὲ καὶ δ α π ά ν η· γινώσκειν δὲ ἀγαθοῦ.* Πρβλ. *φειδώ, λιμός.*

δάπτειν. Καταβροχθίζω, devour, Ἐμπεδοκλῆς 136 *οὐκ ἐσορᾶτε ἀλλήλους δ ά π τ ο ν τ ε ς ἀκηδείῃσι νόοιο.*

δατεῖσθαι 1. Κατανέμομαι, be distributed, Διογένης 3.1 *οὐ γὰρ ἂν οἷόν τε ἦν οὕτω δ ε δ ά σ θ α ι ἄνευ νοήσιος* **2.** Διαμοιράζω, distribute, Δημόκριτος 279 *τοῖς παισὶ χρὴ τῶν ἀνυστῶν δ α τ ε ῖ σ θ α ι τὰ χρήματα.*

δαψιλός. Πολὺ ἀραιός, very rare, Ἐμπεδοκλῆς 39 *εἴπερ ἀπείρονα γῆς τε βάθη καὶ δ α ψ ι λ ὰ ς αἰθήρ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

δεδιέναι. Φοβοῦμαι, be afraid, Δημόκριτος 174.5 *καὶ δ ε δ ο ι κ ε καὶ ἑωυτὸν κακίζει* 205 *ἀνοήμονες ζωῆς ὀρέγονται [γήραος] θάνατον δ ε δ ο ι κ ό τ ε ς* 206 *ἀνοήμονες θάνατον δ ε δ ο ι κ ό τ ε ς γηράσκειν ἐθέλουσιν.*

δείκελον. Ὁμοίωμα, likeness, Δημόκριτος 123 *δ ε ί κ ε λ ο ν* παρὰ δὲ Δημοκρίτῳ κατ' εἶδος ὁμοία τοῖς πράγμασιν ἀπόρροια, Πρβλ. *εἴδωλον.*

δεικνύναι 1. Δείχνω/ἀποκαλύπτω, show/bring to light, Ξενοφάνης 7 *νῦν αὖτ' ἄλλον ἔπειμι λόγον, δ ε ί ξ ω δὲ κέλευθον* **2.** Ἀναδείχνω, make known, Ἡράκλειτος 53 *πόλεμος πάντων μὲν πατήρ ἐστι . . . καὶ τοὺς μὲν θεοὺς ἔ δ ε ι ξ ε τοὺς δὲ ἀνθρώπους.*

δείλαιος. Βλ. **δειλός.**

δειλός (τύπ. *δείλαιος*, ἀντίθ. *ὄλβιος*). Ἄθλιος, miserable, Ἐμπεδοκλῆς 124.1 *ὦ πόποι, ὦ δ ε ι λ ὸ ν θνητῶν γένος, ὦ δυσάνολβον* 132.2 *ὄλβιος, ὃς θείων πραπίδων ἐκτήσατο πλοῦτον, δ ε ι λ ὸ ς δ', ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν* 141 *δ ε ι λ ο ί, πάνδειλοι, κυάμων ἄπο χεῖρας ἔχεσθαι* 145 *τοιγάρτοι χαλεπῇσιν ἀλύοντες κακότησιν οὔποτε δ ε ι λ α ί ω ν ἀχέων λωφήσετε θυμόν.* Πρβλ. *δυσάνολβος, πάνδειλος.* ‖ **(τά) δειλά.** Οἱ συμφορές, calamities/misfortunes, Ἐμπεδοκλῆς 2.2 *πολλὰ δὲ δ ε ί λ' ἔμπαια, τά τ' ἀμβλύνουσι μερίμνας* 15.3 *καί σφιν πάρα δ ε ι λ ὰ καὶ ἐσθλὰ* 110.7 *οἷα κατ' ἄνδρας μυρία δ ε ι λ ὰ πέλονται ἃ τ' ἀμβλύνουσι μερίμνας.* Πρβλ. *δεινά, κακά.*

δεῖμα. Φόβος, fear, Δημόκριτος 199 *ἀνοήμονες . . . ζῆν ἐθέλουσι δ ε ί μ α τ ι ἀίδεω* 215 *ἀδικίης δὲ δ ε ῖ μ α ξυμφορῆς τέρμα.*

δεῖν. Πρέπει, one ought/one must, Ἡράκλειτος 2.1 *διὸ δ ε ῖ ἕπεσθαι τῷ ‹ξυνῷ, τουτέστι τῷ› κοινῷ* Μέλισσος 9.1 *εἰ μὲν οὖν εἴη, δ ε ῖ αὐτὸ ἓν εἶναι· ἓν δ' ἐὸν δ ε ῖ αὐτὸ σῶμα μὴ ἔχειν* Φιλόλαος 11.1 *θεωρεῖν δ ε ῖ τὰ ἔργα καὶ τὴν οὐσίαν τῷ ἀριθμῷ καττὰν δύναμιν ἅτις ἐστὶν ἐν τᾷ δεκάδι* Ἀρχύτας 3.1 *δ ε ῖ γὰρ ἢ μαθόντα παρ' ἄλλω ἢ αὐτὸν ἐξευρόντα, ὧν ἀνεπιστάμων ἦσθα,*

Ακαδημία Αθηνών / Academy of Athens

ἐπιστάμονα γενέσθαι Δημόκριτος 87 *τὸν φαῦλον παραφυλάττειν δ ε ῖ, μὴ καιροῦ λάβηται* 191.6 *ἐπὶ τοῖς δυνατοῖς οὖν δ ε ῖ ἔχειν τὴν γνώμην καὶ τοῖς παρεοῦσιν ἀρκέεσθαι* 228 *ἔνθα δ ε ῖ τοὺς πόδας ἐρεῖσαι* 266.4 *δ ε ῖ δέ κως, οὕτω καὶ ταῦτα κοσμηθῆναι, ὅκως ὁ μηδὲν ἀδικέων.* ‖ **ὃ δεῖ.** "Ο,τι πρέπει, fitting, Ἐμπεδοκλῆς 25 *καὶ δὶς γάρ, δ δ ε ῖ, καλόν ἐστιν ἐνισπεῖν* Δημόκριτος 2.6 *τὸ πράττειν ἃ δ ε ῖ* 42 *μέγα τὸ ἐν ξυμφορῇσι φρονεῖν ἃ δ ε ῖ.* ‖ **τὸ δέον** (συνών. *τὸ χρεών*). Τὸ πρέπον/τὸ καθῆκον, duty, Δημόκριτος 41 *μὴ διὰ φόβον, ἀλλὰ διὰ τ ὸ δ έ ο ν ἀπέχεσθαι ἁμαρτημάτων* 181.4 *τὸν δὲ ἐς τ ὸ δ έ ο ν ἠγμένον.* ‖ **δεῖσθαι** (συνών. *χρήμη ἐστί*). Χρειάζομαι/ἔχω ἀνάγκη, need, Παρμενίδης 8.33 *ἔστι γὰρ οὐκ ἐπιδευές, [μὴ] ἐὸν δ' ἂν παντὸς ἐ δ ε ῖ τ ο* Δημόκριτος 235.9 *αὖθις τῶν αὐτῶν δ ε ῖ* 277.7 *ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ πολλῶν, οἷον ἂν δ έ ῃ.* Πρβλ. *χρήζειν.* ‖ **οἱ δεόμενοι.** "Οσοι ἔχουν ἀνάγκη/οἱ ἄποροι, the needy, Ἀρχύτας 3.11 *οἵ τε πλούσιοι διδόντι τ ο ῖ ς δ ε ο μ έ ν ο ι ς.*

δεινός. Φοβερὸς/ἐπικίνδυνος, terrible/dangerous, Ξενοφάνης 2.5 *δ ε ι ν ὸ ν ἄεθλον δ παγκράτιον καλέουσιν.* ‖ **δεινόν.** Φοβερό, dreadful, Δημόκριτος 110 *γυνὴ μὴ ἀσκείτω λόγον· δ ε ι ν ὸ ν γάρ.*

δεκάς. Ἡ δεκάδα (ὡς καίριος ἀριθμὸς τῶν Πυθαγορείων), dekad (leading number of the Pythagoreans), Φιλόλαος A 13 (DK I 402,16) ὀρθῶς οὖν αὐτὴν ὁ Φιλόλαος *δ ε κ ά δ α* προσηγόρευσεν ὡς *δεκτικὴν* τοῦ ἀπείρου 11.2-5 *τὴν οὐσίαν τῶ ἀριθμῶ καττὰν δύναμιν ἅτις ἐστὶν ἐν τᾷ δ ε κ ά δ ι . . . δύναμις καὶ τᾶς δ ε κ ά δ ο ς* Ἀρχύτας 5 (τίτλ.) *Περὶ τῆς δ ε κ ά δ ο ς.*

δεκτικός. Δεκτικός, capable of receiving, Φιλόλαος A 13 (DK I 402,16) ὀρθῶς οὖν αὐτὴν ὁ Φιλόλαος *δεκάδα* προσηγόρευσεν ὡς *δ ε κ τ ι κ ὴ ν* τοῦ ἀπείρου.

Δελφίς. Ὁ ἀστερισμὸς τοῦ Δελφίνος, constellation of Dolphin, Δημόκριτος 14 (DK II 144,44) Δημόκριτος λέγει δύεσθαι τὸν *Δ ε λ φ ῖ ν α* καὶ τροπὴν ὡς ἐπὶ πολὺ γίνεσθαι.

δέμας 1. Σῶμα, body, Ξενοφάνης 14 *ἀλλ' οἱ βροτοὶ δοκέουσι γεννᾶσθαι θεούς, τὴν σφετέρην δ' ἐσθῆτα ἔχειν φωνήν τε δ έ μ α ς*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τε 15.5 *καὶ ‹κε›θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίουν τοιαῦθ' οἷόν περ καὐτοὶ δ έ μ α ς εἶχον ‹ἕκαστοι›* 23 *εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος, οὔ τι δ έ μ α ς θνητοῖσιν ὁμοίιος οὐδὲ νόημα* Παρμενίδης 8.55 *τἀναντία δ' ἐκρίναντο δ έ μ α ς καὶ σήματ' ἔθεντο χωρὶς ἀπ' ἀλλήλων* 8.59 *νύκτ' ἀδαῆ, πυκινὸν δ έ μ α ς ἐμβριθές τε* 'Εμπεδοκλῆς 37 *αὔξει δὲ χθὼν μὲν σφέτερον δ έ μ α ς, αἰθέρα δ' αἰθὴρ* 100.11 *ὥσπερ ὅταν παῖς κλεψύδρῃ παίζουσα διειπετέος χαλκοῖο εὖτε μὲν αὐλοῦ πορθμὸν ἐπ' εὐειδεῖ χερὶ θεῖσα εἰς ὕδατος βάπτῃσι τέρεν δ έ μ α ς ἀργυρέφοιο, οὐδεὶς ἄγγοσδ' ὄμβρος ἐσέρχεται.* Πρβλ. *σῶμα* **2.** Διάπλαση, structure, 'Εμπεδοκλῆς 62.7 *οὔτε τί πω μελέων ἐρατὸν δ έ μ α ς ἐμφαίνοντας οὔτ' ἐνοπὴν οἷόν τ' ἐπιχώριον ἀνδράσι γυῖον.*

δέν (συνών. *ναστόν, ὄν,* ἀντίθ. *μηδέν, οὐδέν, κενόν*). Κάτι, something, Δημόκριτος 156 *μὴ μᾶλλον τὸ δ ὲ ν ἢ τὸ μηδὲν εἶναι* A 37 (DK II 93,25) Δημόκριτος ... τῶν δὲ οὐσιῶν ἑκάστην τῷ τε δ ε ν ὶ καὶ τῷ ναστῷ καὶ τῷ ὄντι A 49 (DK II 97,17) νομίζεται μὲν ... κατὰ δὲ τὴν ἀλήθειαν δ ὲ ν καὶ *μηδέν* ἐστι τὰ πάντα· καὶ γὰρ αὖ καὶ τοῦτ' εἴρηκεν αὐτός, δ ὲ ν μὲν τὰς ἀτόμους ὀνομάζων, *μηδὲν* δὲ τὸ κενόν.

δενδρεόθρεπτος. Δενδρόθρεπτος/δενδροτρόφος, tree-nourished /nourishing trees, 'Εμπεδοκλῆς 111.6 *θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου ῥεύματα δ ε ν δ ρ ε ό θ ρ ε π τ α.*

δεξαμενή. Δοχεῖο, receptacle, Δημόκριτος 135 *δ ε ξ α μ ε ν α ί : ὑδάτων δοχεῖα, καὶ ἐν τῷ σώματι φλέβες.*

δεξιός (ἀντίθ. *ἀριστερός*). Δεξιός, right, Διογένης 6.3 *αὗται* (sc. *αἱ φλέβες*) *τείνουσι διὰ τῆς κοιλίας παρὰ τὴν νωτιαίαν ἄκανθαν, ἡ μὲν ἐπὶ δ ε ξ ι ά, ἡ δ' ἐπ' ἀριστερὰ* 6.6 *καθ' ἅπαν τὸ σῶμα φλέβες διατείνουσιν, ἀπὸ μὲν τῆς δ ε ξ ι ᾶ ς εἰς τὰ δ ε ξ ι ά, ἀπὸ δὲ τῆς ἀριστερᾶς εἰς τὰ ἀριστερὰ* 6.16 *ἕτεραι* (sc. *φλέβες*) *λεπτότεραι ... τείνουσιν ἀπὸ τῆς δ ε ξ ι ᾶ ς εἰς τὸ ἦπαρ* 6.30 *ἀφ' ἑκατέρας δ' αὐτῶν* (sc. *τῶν φλεβῶν*), *ᾗ τελευτᾷ, σχίζονται εἰς τὴν κεφαλὴν πολλαί, αἱ μὲν ἐκ τῶν δ ε ξ ι ῶ ν εἰς τὰ ἀριστερά, αἱ δ' ἐκ τῶν ἀριστερῶν εἰς τὰ δ ε ξ ι ὰ* 6.46 *αἱ δὲ φλέβες ... λεπτότεραι γίγνονται, ἕως ἂν μεταβάλωσιν ἐκ τῶν δ ε ξ ι ῶ ν εἰς τὰ ἀριστε-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ρὰ καὶ ἐκ τούτων εἰς τὰ δ ε ξ ι ά. ‖ **δεξιόν** (ἀντίθ. *ἀριστερόν*). Πυθαγόρειοι 5 (DK I 452,40) ἕτεροι δὲ τῶν αὐτῶν τούτων τὰς ἀρχὰς δέκα λέγουσιν εἶναι τὰς κατὰ συστοιχίαν λεγομένας . . . *δ ε ξ ι ὸ ν καὶ ἀριστερόν.*

δέον. Βλ. **δεῖν.**

δέρκεσθαι (συνών. *θεᾶσθαι, θεωρεῖν*). Βλέπω, see, Ἐμπεδοκλῆς 17.21 *τὴν* (sc. *Φιλότητα*) *σὺ νόῳ δ έ ρ κ ε υ, μηδ' ὄμμασιν ἧσο τεθηπὼς* 21.1 *ἀλλ' ἄγε, τόνδ' ὀάρων προτέρων ἐπιμάρτυρα δ έ ρ κ ε υ.* Πρβλ. *βλέπειν, ὁρᾶν, ὀξυδερκείη.*

δέρμα. Δέρμα, skin, Διογένης 6.37-42 *ὅταν τι ὑπὸ τὸ δ έ ρ μ α λυπῇ . . . ἕτεραι δ' ὑπὸ τὸ δ έ ρ μ α.*

δεσμὸς 1. Δέσιμο, binding, Παρμενίδης 8.26-31 *αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δ ε σ μ ῶ ν ἔστιν ἄναρχον ἄπαυστον . . . κρατερὴ γὰρ Ἀνάγκη πείρατος ἐν δ ε σ μ ο ῖ σ ι ν ἔχει* Ἀρχέλαος 1a *ἡ ψυχρότης δ ε σ μ ό ς ἐστιν* **2.** Δεσμὰ φυλακῆς, prison bonds, Δημόκριτος 262.2 *οἳ φυγῆς ἄξια ἔρδουσιν ἢ δ ε σ μ ῶ ν ἢ θωιῆς ἄξιοι, καταψηφιστέον καὶ μὴ ἀπολύειν.*

δεσπόζειν. Ἐξουσιάζω/κυριαρχῶ, dominate, Δημόκριτος 214 *ἔνιοι δὲ πολίων μὲν δ ε σ π ό ζ ο υ σ ι, γυναιξὶ δὲ δουλεύουσι.*

δεύεσθαι. Διαποτίζομαι/βρέχομαι, be saturated/soaked, Ξενοφάνης 3.6 *ἀσκητοῖσ' ὀδμὴν χρίμασι δ ε υ ό μ ε ν ο ι* Ἐμπεδοκλῆς 21.4 *ἄμβροτα δ' ὅσσ' εἴδει τε καὶ ἀργέτι δ ε ύ ε τ α ι αὐγῇ* 128.8 *παύρων δ' ἀκρήτοισι φόνοις οὐ δ ε ύ ε τ ο βωμός.*

δέχεσθαι. Δέχομαι/ἐπιδέχομαι, receive/admit, Ἐμπεδοκλῆς 115.12 *ἄλλος δ' ἐξ ἄλλου δ έ χ ε τ α ι, στυγέουσι δὲ πάντες* Φιλόλαος 11.21 *ψεῦδος δὲ οὐδὲν δ έ χ ε τ α ι ἁ τῶ ἀριθμῶ φύσις οὐδὲ ἁρμονία* Πυθαγόρειοι C 6 (DK I 466,2) *μηδὲ χελιδόνας ἐν οἰκίᾳ δ έ χ ε σ θ α ι* Δημόκριτος 92 *χάριτας δ έ χ ε σ θ α ι χρεὼν προσκωπευόμενον κρέσσονας αὐτῶν ἀμοιβῆς ἀποδοῦναι.*

δῆλος (συνών. *φανερός*, ἀντίθ. *ἄδηλος, ἀφανής*). Φανερός/σαφής, clear/evident, Ἐμπεδοκλῆς 3.9-13 *ἀλλ' ἄγ' ἄθρει πάσῃ παλάμῃ, πῇ δ ῆ λ ο ν ἕκαστον . . . νόει δ' ᾗ δ ῆ λ ο ν ἕκαστον* 23.10

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

θνητῶν, ὅσσα γε δ ῆ λ α γεγάκασιν ἄσπετα Φιλόλαος 11.9 *οὐ γὰρ ἦς δ ῆ λ ο ν οὐδενὶ οὐδὲν τῶν πραγμάτων οὔτε αὐτῶν ποθ' αὑτὰ οὔτε ἄλλω πρὸς ἄλλο, εἰ μὴ ἦς ἀριθμὸς καὶ ἁ τούτω οὐσία.* ‖ **δῆλον** *(ἐστί).* Φανερὸ/προφανὲς (εἶναι), (it is) clear/obvious, Ζήνων 2.6 *εἰ δὲ ἀπογινομένου τὸ ἕτερον μηδὲν ἔλαττον ἔσται μηδὲ αὖ προσγινομένου αὐξήσεται, δ ῆ λ ο ν ὅτι τὸ προσγενόμενον οὐδὲν ἦν οὐδὲ τὸ ἀπογενόμενον* Μέλισσος 8(5) *δ ῆ λ ο ν τοίνυν, ὅτι οὐκ ὀρθῶς ἑωρῶμεν οὐδὲ ἐκεῖνα πολλὰ ὀρθῶς δοκεῖ εἶναι* Φιλόλαος 2.5 *ἐπεὶ τοίνυν φαίνεται οὔτ' ἐκ περαινόντων πάντων ἐόντα οὔτ' ἐξ ἀπείρων πάντων, δ ῆ λ ο ν τᾶρα ὅτι ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ συναρμόχθη* Ἀρχύτας 1.45 *ὥστε δ ῆ λ ο ν ὅτι ἁ ταχεῖα κίνασις ὀξὺν ποιεῖ, ἁ δὲ βραδεῖα βαρὺν τὸν ἦχον* Διογένης 8 *ἀλλὰ τοῦτό μοι δ ῆ λ ο ν δοκεῖ εἶναι* Δημόκριτος 8 *καίτοι δ ῆ λ ο ν ἔσται, ὅτι ἑτέῃ οἷον ἕκαστον γιγνώσκειν ἐν ἀπόρῳ ἐστὶ* 278.3 *δ ῆ λ ο ν δὲ καὶ τοῖς ἄλλοις ζῴοισι· πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν ἐπωφελείης γε οὐδεμιᾶς εἵνεκα.* Πρβλ. *δηλοῦν.*

δηλοῦν 1. Δείχνω/ἀποδεικνύω, show/prove, Φιλόλαος 2.7 *δ η λ ο ῖ δὲ καὶ τὰ ἐν τοῖς ἔργοις* Δημόκριτος 7 *δ η λ ο ῖ μὲν δὴ καὶ οὗτος ὁ λόγος, ὅτι ἑτέῃ οὐδὲν ἴσμεν* **2.** Φανερώνω, bring to light, Ἀρχύτας 3.16 *τοὺς δὲ μὴ ἐπισταμένους, ἐν αὐτῷ δ η λ ώ σ α ς ἀδικοῦντας, ἐκώλυσεν ἀδικῆσαι.* ‖ **δηλοῦσθαι**. Ἀποδεικνύομαι/καταδεικνύομαι, be demonstrated, Διογένης 4 *καὶ τοῦτο αὐτοῖς ψυχή ἐστι καὶ νόησις, ὡς δ ε δ η λ ώ σ ε τ α ι ἐν τῇδε τῇ συγγραφῇ ἐμφανῶς* Δημόκριτος 10 *ἑτέῃ μὲν νῦν ὅτι οἷον ἕκαστον ἔστιν <ἢ> οὐκ ἔστιν οὐ συνίεμεν, πολλαχῇ δ ε δ ή λ ω τ α ι.*

δημιουργία (συνών. *ἔργον*). Κατασκευή, construction, Φιλόλαος 11.19 *καὶ κατὰ τὰς δ η μ ι ο υ ρ γ ί α ς τὰς τεχνικὰς πάσας καὶ κατὰ τὰν μουσικάν.* Πρβλ. *τεχνικός, τέχνη, σοφία.*

δημοκρατίη. Δημοκρατία, democracy, Δημόκριτος 251 *ἡ ἐν δ η μ ο κ ρ α τ ί ῃ πενίη τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστι αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.*

δῆμος 1. Λαός, people, Ἡράκλειτος 44 *μάχεσθαι χρὴ τὸν δ ῆ μ ο ν ὑπὲρ τοῦ νόμου ὅκωσπερ τείχεος* 104.2 *τοῖσι δ ή μ ω ν*

Ακαδημία Αθηνών / Academy of Athens

ἀοιδοῖσι πείθονται καὶ διδασκάλῳ χρείονται ὁμίλῳ **2.** Συγκέντρωση λαοῦ, public meeting, 'Ανάξαρχος 1 *πολυμαθίη . . . ὠφελεῖ μὲν τὸν δεξιὸν ἄνδρα, βλάπτει δὲ τὸν ῥηϊδίως φωνεῦντα πᾶν ἔπος κὴν παντὶ δ ή μ ῳ.* Πρβλ. *ἀγορά, ὅμιλος.*

δημόσιος. Δημόσιος, public, Ξενοφάνης 2.8 *καί κεν σῖτ' εἴη δ η μ ο σ ί ω ν κτεάνων ἐκ πόλιος.* || **τὰ δημόσια.** Οἱ δημόσιες ὑποθέσεις/τὰ κοινά, public affairs, Δημόκριτος 253 *εἰ δ' ἀμελέοι τις τ ῶ ν δ η μ ο σ ί ω ν, κακῶς ἀκούειν γίγνεται.*

δημωφελής. 'Επωφελὴς στὸ λαό, useful to people, Δημόκριτος 282 *χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δ η μ ω φ ε λ έ α.*

Δηναίη (ἀντίθ. *Θόωσα*). 'Η Βραδύτης (προσωποπ.), the Tardiness (personif.), 'Εμπεδοκλῆς 122.3 *ἔνθ' ἦσαν . . . Θόωσά τε Δ η ν α ί η τε.*

δηναιότης. Μακροβιότης, longevity, Δημόκριτος 201 *ἀνοήμονες δ η ν α ι ό τ η τ ο ς ὀρέγονται οὐ τερπόμενοι δ η ν α ι ό τ η τ ι.*

δῆρις (συνών. *μάχη, πόλεμος*). Μάχη/διένεξη, battle/discord, 'Εμπεδοκλῆς 27 a *οὐ στάσις οὐδέ τε δ ῆ ρ ι ς ἀναίσιμος ἐν μελέεσιν.* || **Δῆρις.** 'Η Μάχη (προσωποπ.), the Battle (personif.), 'Εμπεδοκλῆς 122.2 *ἔνθ' ἦσαν . . . Δ ῆ ρ ί ς θ' αἱματόεσσα καὶ 'Αρμονίη θεμερῶπις.*

δηρόν. 'Επὶ μακρὸ χρόνο, for a long time, 'Εμπεδοκλῆς 112. 12 *δ η ρ ὸ ν δὴ χαλεπῇσι πεπαρμένοι ‹ἀμφ' ὀδύνῃσιν›.* Πρβλ. *μακρόν.*

διάγειν. Διάγω/περνῶ (τὴ ζωή μου), lead (my own life), Δημόκριτος 189 *τὸν βίον δ ι ά γ ε ι ν* 191.22 *ἐνθυμεύμενον ἃ πάσχουσιν, ὁκόσῳ αὐτέων βέλτιον πρήσσει τε καὶ δ ι ά γ ε ι. ταύτης γὰρ ἐχόμενος τῆς γνώμης εὐθυμότερόν τε δ ι ά ξ ε ι ς.*

διαγιγνώσκειν 1. 'Αντιλαμβάνομαι/διακρίνω, perceive/discern, 'Ηράκλειτος 7 *εἰ πάντα καπνὸς γένοιτο, ῥῖνες ἂν δ ι α γ ν ο ῖ ε ν.* Πρβλ. *κρίνειν* **2.** Γνωρίζω, cognize, 'Αρχύτας 1.1-4 *καλῶς μοι*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

δοκοῦντι τοὶ περὶ τὰ μαθήματα δ ι α γ ν ώ μ ε ν α ι . . . περὶ τᾶς τῶν ὅλων φύσιος καλῶς δ ι α γ ν ό ν τ ε ς ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, καλῶς ὀψεῖσθαι. Πρβλ. *γιγνώσκειν.*

διάγνωσις 1. Διάγνωση/ἐκτίμηση, discernment/estimation, Δημόκριτος 226 *οἰκῆον ἐλευθερίης παρρησίη, κίνδυνος δὲ ἡ τοῦ καιροῦ δ ι ά γ ν ω σ ι ς.* Πρβλ. *κρίσις* **2.** Γνώση, knowledge, Ἀρχύτας 1.6 *περί τε δὴ τᾶς τῶν ἄστρων ταχυτᾶτος καὶ ἐπιτολᾶν καὶ δυσίων παρέδωκαν ἁμῖν σαφῆ δ ι ά γ ν ω σ ι ν.* Πρβλ. *γνώμη, γνῶσις.*

διάδειν (ἀντίθ. *συνάδειν*). Παραφωνῶ/διαφωνῶ, be dissonant/disagree, Ἡράκλειτος 10 *συμφερόμενον διαφερόμενον, συνᾷδον δ ι ᾷ δ ο ν.*

διάθεσις. Ἰδιοσυστασία, idiosyncracy, Δημόκριτος O b (τίτλ.) *Περὶ τῆς τοῦ σοφοῦ δ ι α θ έ σ ε ω ς.* Πρβλ. *διαθιγή.*

διαθήκη. Διάθεση/κατάσταση, disposition, Δημόκριτος 9.3 *ἡμεῖς δὲ τῷ μὲν ἐόντι οὐδὲν ἀτρεκὲς συνίεμεν, μεταπῖπτον δὲ κατά τε σώματος δ ι α θ ή κ η ν καὶ τῶν ἐπεισιόντων καὶ τῶν ἀντιστηριζόντων.* Πρβλ.. *διατιθέναι.*

διαθιγή (συνών. *διαταγή, τάξις*). Διάταξη, ordering, Λεύκιππος A 6 (DK II 72,21) διαφέρειν γάρ φασι (sc. Λεύκιππος καὶ Δημόκριτος) τὸ ὂν *ῥυσμῷ καὶ δ ι α θ ι γ ῇ καὶ τροπῇ* μόνον. τούτων δὲ ὁ μὲν ῥυσμὸς σχῆμά ἐστιν, ἡ δὲ *δ ι α θ ι γ ὴ* τάξις, ἡ δὲ τροπὴ θέσις Δημόκριτος A 38 (DK II 94,7-17) ὡς <γὰρ> ὕλην τοῖς οὖσι τὰς ἀτόμους ὑποτιθέντες τὰ λοιπὰ γεννῶσι ταῖς διαφοραῖς αὐτῶν. τρεῖς δέ εἰσιν αὗται, *ῥυσμὸς τροπὴ δ ι α θ ι γ ή*, ταὐτὸν δὲ εἰπεῖν σχῆμα καὶ θέσις καὶ τάξις . . . ὁρῶμεν δὲ τὸ αὐτὸ σῶμα συνεχὲς ὂν ὁτὲ μὲν ὑγρὸν ὁτὲ δὲ πεπηγός, οὐ διαιρέσει καὶ συνθέσει τοῦτο παθὸν οὐδὲ *τροπῇ καὶ δ ι α θ ι γ ῇ.* Πρβλ. *κακοθιγίη.*

διαθρῴσκειν. Διαχέομαι/ξεπηδῶ, be diffused/leap out, Ἐμπεδοκλῆς 84.5 *φῶς δ' ἔξω δ ι α θ ρ ῴ σ κ ο ν, ὅσον ταναώτερον ἦεν, λάμπεσκεν κατὰ βηλὸν ἀτειρέσιν ἀκτίνεσσιν.*

διαίνειν. Ὑγραίνω, wet/moisten, Ἐμπεδοκλῆς 73 *ὡς δὲ τότε*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

χθόνα Κύπρις, ἐπεί τ' ἐ δ ί η ν ε ν ἐν ὄμβρῳ, εἴδεα ποιπνύουσα θοῷ πυρὶ δῶκε κρατῦναι. Πρβλ. *δεύεσθαι.*

διαιρεῖν. Διαιρῶ/διακρίνω, divide/distinguish, Ἡράκλειτος 1.6 *διηγεῦμαι κατὰ φύσιν δ ι α ι ρ έ ω ν ἕκαστον.* ‖ **διαιρεῖσθαι.** Διαιροῦμαι, be divided, Μέλισσος 10 *εἰ γὰρ δ ι ᾐ ρ η τ α ι τὸ ἐόν, κινεῖται· κινούμενον δὲ οὐκ ἂν εἴη.*

διαιρετός (ἀντίθ. *συνεχής*). Διαιρετός, divisible, Παρμενίδης 8.22 *οὐδὲ δ ι α ι ρ ε τ ό ν ἐστιν, ἐπεὶ πᾶν ἐστιν ὁμοῖον.* Πρβλ. *διαιρεῖσθαι.*

δίαιτα. Τρόπος ζωῆς/δίαιτα, regime of life, Διογένης 5.21 *ἅτε οὖν πολυτρόπου ἐούσης τῆς ἑτεροιώσιος πολύτροπα καὶ τὰ ζῷα καὶ πολλὰ καὶ οὔτε ἰδέαν ἀλλήλοις ἐοικότα οὔτε δ ί α ι τ α ν οὔτε νόησιν* Δημόκριτος 26 c (τίτλ.) *Περὶ δ ι α ί τ η ς ἢ Διαιτητικόν.*

Διαιτητικόν. Πραγματεία περὶ διαίτης, treatise on diet, Δημόκριτος 26 c (τίτλ.). *Περὶ διαίτης ἢ Δ ι α ι τ η τ ι κ ό ν.* Πρβλ. *δίαιτα.*

διακεῖσθαι. Ἔχω ὁρισμένη διάταξη, be ordered, Διογένης 3.5 *καὶ τὰ ἄλλα, εἴ τις βούλεται ἐννοεῖσθαι, εὑρίσκοι ἂν οὕτω δ ι α κ ε ί μ ε ν α ὡς ἀνυστὸν κάλλιστα.* Πρβλ. *διακοσμεῖν, διατιθέναι, δεδάσθαι.*

διακοσμεῖν (συνών. *διατιθέναι, κοσμεῖν*). Βάζω σὲ τάξη/ἐναρμονίζω, set in order, Ἀναξαγόρας, 12.18 *πάντα δ ι ε κ ό σ μ η σ ε νοῦς.* Πρβλ. *διακόσμησις, διάκοσμος, κυβερνᾶν, μετακοσμεῖσθαι.*

διακόσμησις. Διαμόρφωση τοῦ κόσμου, arrangement of the world, Δημόκριτος 5 διασύρειν τε αὐτοῦ (sc. Ἀναξαγόρου) *τὰ περὶ τῆς δ ι α κ ο σ μ ή σ ε ω ς καὶ τοῦ νοῦ.* Πρβλ. *διακοσμεῖν, διάκοσμος, κοσμεῖσθαι, μετακοσμεῖσθαι.*

διάκοσμος. Διάταξη τοῦ κόσμου, ordering of the world, Παρμενίδης 8.60 *τόν σοι ἐγὼ δ ι ά κ ο σ μ ο ν ἐοικότα πάντα φατίζω.* ‖ Λεύκιπος 1 τοὺς ἀστέρας δὲ ζῷα εἶναι οὔτε Ἀναξαγόρᾳ οὔτε Δημοκρίτῳ *ἐν τῷ Μεγάλῳ δ ι α κ ό σ μ ῳ* δοκεῖ Δημόκρι-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τος Ο c ἀναγνοὺς αὐτοῖς τὸν *Μέγαν δ ι ά κ ο σ μ ο ν* καὶ τὰ *Περὶ τῶν ἐν Ἅδου* εἶπεν εἰς ταῦτα ἀνηλωκέναι 4 b *Μέγας δ ι ά κ ο σ μ ο ς* 4 c *Μικρὸς δ ι ά κ ο σ μ ο ς* 5 γέγονε δὲ (sc. Δημόκριτος) τοῖς χρόνοις, ὡς αὐτός φησιν *ἐν τῷ Μικρῷ δ ι α κ ό σ μ ῳ, νέος κατὰ πρεσβύτην Ἀναξαγόραν . . . συντετάχθαι* δέ φησι τὸν *Μικρὸν δ ι ά κ ο σ μ ο ν*. Πρβλ. *διακοσμεῖν, κοσμεῖσθαι, μετακοσμεῖσθαι.*

διακρίνεσθαι (ἀντίθ. *συμμίσγεσθαι, συγκρίνεσθαι, προσκρίνεσθαι*) **1.** Διαχωρίζομαι, be separated, Ἀναξαγόρας 5.1 *τούτων δὲ οὕτω δ ι α κ ε κ ρ ι μ έ ν ω ν γινώσκειν χρή, ὅτι πάντα οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ πλείω (οὐ γὰρ ἀνυστὸν πάντων πλείω εἶναι), ἀλλὰ πάντα ἴσα ἀεὶ* 12.16 *καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα καὶ δ ι α κ ρ ι ν ό μ ε ν α πάντα ἔγνω νοῦς* 12.26 *παντάπασι δὲ οὐδὲν ἀποκρίνεται οὐδὲ δ ι α κ ρ ί ν ε τ α ι ἕτερον ἀπὸ τοῦ ἑτέρου πλὴν νοῦ.* **2** (ἀντίθ. *προσκρίνεσθαι*). Διαφορίζομαι, be differentiated, Ἀναξαγόρας 13 *καὶ ἐπεὶ ἤρξατο ὁ νοῦς κινεῖν, ἀπὸ τοῦ κινουμένου παντὸς ἀπεκρίνετο, καὶ ὅσον ἐκίνησεν ὁ νοῦς, πᾶν τοῦτο δ ι ε κ ρ ί θ η· κινουμένων δὲ καὶ δ ι α κ ρ ι ν ο μ έ ν ω ν ἡ περιχώρησις πολλῷ μᾶλλον ἐποίει δ ι α κ ρ ί ν ε σ θ α ι.* **3** (συνών. *ἀπόλλυσθαι*). Χωρίζομαι στὰ συστατικὰ μέρη, be separated into components, Ἀναξαγόρας 17.4-6 *οὐδὲν γὰρ χρῆμα γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ δ ι α κ ρ ί ν ε τ α ι. καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γίνεσθαι συμμίσγεσθαι καὶ τὸ ἀπόλλυσθαι δ ι α κ ρ ί ν ε σ θ α ι.* Πρβλ. *ἀποκρίνεσθαι, μίσγεσθαι.*

διακριτικῶς. Χωριστά, separately, Δημόκριτος 164.7 *ὅπου μὲν γὰρ κατὰ τὸν τοῦ κοσκίνου δῖνον δ ι α κ ρ ι τ ι κ ῶ ς φακοὶ μετὰ φακῶν τάσσονται καὶ κριθαὶ μετὰ κριθῶν καὶ πυροὶ μετὰ πυρῶν.* Πρβλ. *ἀποκρίνειν, ἀπόκρισις, διακρίνεσθαι.*

διάλλαξις. Χωρισμὸς καὶ ἐναλλαγή, separation and interchange, Ἐμπεδοκλῆς 8.3 *ἀλλὰ μόνον μίξις τε δ ι ά λ λ α ξ ί ς τε μιγέντων ἔστι, φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν.* Πρβλ. *ἀνταμοιβή, διαλλάσσειν.*

διαλλάσσειν (συνών. *διαμείβειν, μεταβάλλειν, μεταλλάσσειν,*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

μεταπίπτειν). 'Εναλλάσσομαι, alternate, 'Εμπεδοκλῆς 17.12 *ἦ δὲ δ ι α λ λ ά σ σ ο ν τ α διαμπερὲς οὐδαμὰ λήγει* 35.15 *ζωρά τε τὰ πρὶν ἄκρητα δ ι α λ λ ά ξ α ν τ α κελεύθους.* || **διαλλάσσεσθαι.** Συνδιαλλάσσομαι/συμφιλιώνομαι, be reconciled, 'Αρχύτας 3.10 *στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθεὶς . . . τούτῳ γὰρ* (sc. *τῷ λογισμῷ*) *περὶ τῶν συναλλαγμάτων δ ι α λ λ α σ σ ό μ ε θ α.*

διαλογίζεσθαι. Διαλογίζομαι/στοχάζομαι, consider/meditate, Δημόκριτος 112 *θείου νοῦ τὸ ἀεί τι δ ι α λ ο γ ί ζ ε σ θ α ι καλόν.* Πρβλ. *διανοεῖσθαι, μητίειν, νοεῖν, σκέπτεσθαι.*

διάλυσις. Διάλυση, dissolution, Δημόκριτος 297.2 *ἔνιοι θνητῆς φύσεως δ ι ά λ υ σ ι ν οὐκ εἰδότες ἄνθρωποι.*

διαμείβειν (συνών. *ἀλλάσσειν, διαλλάσσειν*). 'Εναλλάσσω, interchange, Παρμενίδης 8.41 *γίγνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐχί, καὶ τόπον ἀλλάσσειν δ ι ά τε χρόα φανὸν ἀ μ ε ί β ε ι ν* 'Εμπεδοκλῆς 21.14 *αὐτὰ γὰρ ἔστιν ταῦτα, δι' ἀλλήλων δὲ θέοντα γίγνεται ἀλλοιωπά· τόσον δ ι ὰ κρῆσις ἀ μ ε ί β ε ι.*

διαμένειν (τύπ. *διαμίμνειν*, ἀντίθ. *σκίδνασθαι*). Παραμένω, remain, Δημόκριτος 100 *ὅτεῳ μὴ δ ι α μ έ ν ο υ σ ι ν ἐπὶ πολλὸν οἱ πειραθέντες φίλοι, δύστροπος* A 135 (55) (DK II 116,12) διὰ πλείστου τε κενοῦ διέρχεται (sc. ἀήρ) καὶ ἥκιστα *δ ι α μ ί μ ν ε ι.*

διάμορφος. 'Αλλόμορφος, of different form, 'Εμπεδοκλῆς 21.7 *ἐν δὲ Κότῳ δ ι ά μ ο ρ φ α καὶ ἄνδιχα πάντα πέλονται.*

διαμπερὲς 1 (συνών. *ἠνεκές, ἠνεκέως*). Διαρκῶς, continuously, 'Εμπεδοκλῆς 17.6, 17.12, 26.11 *καὶ ταῦτ' ἀλλάσσοντα δ ι α μ π ε ρ ὲ ς οὐδαμὰ λήγει* **2** (συνών. *διαμπερέως*). Πέρα γιὰ πέρα, all the way, 'Εμπεδοκλῆς 17.31 *εἴτε γὰρ ἐφθείροντο δ ι α μ π ε ρ έ ς, οὐκέτ' ἂν ἦσαν* 100.4 *ῥινῶν ἔσχατα τέρθρα δ ι α μ π ε ρ έ ς.*

διανοεῖσθαι. Νομίζω, believe/think, Δημόκριτος 155.2 *εἰ κώνος τέμνοιτο παρὰ τὴν βάσιν ἐπιπέδῳ, τί χρὴ δ ι α ν ο ε ῖ σ θ α ι*

Ακαδημία Αθηνών / Academy of Athens

τὰς τῶν τμημάτων ἐπιφανείας, ἴσας ἢ ἀνίσους γιγνομένας; Πρβλ. *διαλογίζεσθαι, μητίειν, σκέπτεσθαι.*

διάνοια. Σκέψη/νοῦς, thought/mind, Δημόκριτος 191.9 *τῶν μὲν ζηλουμένων καὶ θαυμαζομένων ὀλίγην μνήμην ἔχοντα καὶ τῇ δ ι α ν ο ί ᾳ μὴ προσεδρεύοντα.* Πρβλ. *νόησις, νοῦς.*

διαπέτεσθαι. Ξεπετιέμαι καὶ σκορπίζομαι, fly off and be scattered, Ἐμπεδοκλῆς 17.5 *ἡ δὲ πάλιν διαφυομένων θρεφθεῖσα δ ι έ π τ η.*

διαπρεπής. Περιφανὴς/ξεχωριστός, notable/outstanding, Δημόκριτος 195 *εἴδωλα ἐσθῆτι καὶ κόσμῳ δ ι α π ρ ε π έ α πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεά.*

διασκιδνάναι. Διασκορπίζω, disperse, Ἐμπεδοκλῆς 84.4 *ἅψας παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς, οἵ τ' ἀνέμων μὲν πνεῦμα δ ι α σ κ ι δ ν ᾶ σ ι ν ἀέντων.* Πρβλ. *σκιδνάναι.*

διασπᾶν. Διασπῶ/ξεσχίζω, split/tear, Δημόκριτος 159.6 *τὰ μὲν ἀπώλεσε τοῦ σώματος ταῖς ἀμελείαις καὶ ἐξέλυσε ταῖς μέθαις, τὰ δὲ κατέφθειρε καὶ δ ι έ σ π α σ ε ταῖς φιληδονίαις.* ‖ **διασπᾶσθαι.** Διασπῶμαι/διαχωρίζομαι, be separated, Ἐμπεδοκλῆς 63 *ἀλλὰ δ ι έ σ π α σ τ α ι μελέων φύσις· ἡ μὲν ἀνδρός.* Πρβλ. *διαιρεῖν, διατέμνεσθαι.*

διάστημα 1. Διάστημα (μουσικό), interval (musical), Ἀρχύτας 2.7-10-15 *καὶ ἐν ταὐτᾳ <τᾷ> ἀναλογίᾳ συμπίπτει ἦμεν τὸ τῶν μειζόνων ὅρων δ ι ά σ τ η μ α μεῖον, τὸ δὲ τῶν μειόνων μεῖζον . . . τούτων δ' οἱ μείζονες ἴσον ποιοῦνται τὸ δ ι ά σ τ η μ α καὶ οἱ μείους . . . γίνεται δ' ἐν ταύτᾳ τᾷ ἀναλογίᾳ τὸ τῶν μειζόνων ὅρων δ ι ά σ τ η μ α μεῖζον, τὸ δὲ τῶν μειόνων μεῖον* **2.** Ἀπόσταση/διαφορά, distance/difference, Δημόκριτος 191.5 *αἱ δ' ἐκ μεγάλων δ ι α σ τ η μ ά τ ω ν κινούμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι.*

διαταγή (συνών. *τάξις, διαθιγή*). Τάξη/διάταξη, order/arrangement, Δημόκριτος Λ 125 (DK II 112,30) τὰ μὲν γὰρ στοιχεῖα

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἄποια . . . τὰ δὲ ἐξ αὐτῶν συγκρίματα κεχρῶσθαι δ ι α τ α γ ῇ τε καὶ ῥυθμῷ καὶ προτροπῇ. Πρβλ. *τάσσεσθαι, συντάσσεσθαι, σύνταγμα.*

διατείνειν. Ἐκτείνομαι πρὸς διάφορες κατευθύνσεις, be extended in various directions, Διογένης 6.6-24 *ἀπὸ τούτων* (sc. *τῶν φλεβῶν*) *καθ' ἅπαν τὸ σῶμα φλέβες δ ι α τ ε ί ν ο υ σ ι ν . . . καὶ ἐπὶ τὸν ταρσὸν τοῦ ποδὸς καθήκουσι καὶ ἐντεῦθεν ἐπὶ τοὺς δακτύλους δ ι α τ ε ί ν ο υ σ ι ν.* Πρβλ. *τείνειν, καθήκειν.*

διατέμνεσθαι. Διαχωρίζομαι/ἀποκόπτομαι, be separated/cut off, Ἐμπεδοκλῆς 20.4 *ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα γυῖα, τὰ σῶμα λέλογχε, βίου θαλέθοντος ἐν ἀκμῇ· ἄλλοτε δ' αὖτε κακῇσι δ ι α τ μ η θ έ ν τ' Ἐρίδεσσι πλάζεται ἄνδιχ' ἕκαστα περὶ ῥηγμῖνι βίοιο.* Πρβλ. *διασπᾶσθαι.*

διατιθέναι. Διαρρυθμίζω, arrange/settle, Διογένης 5.4 *αὐτὸ γάρ μοι τοῦτο* (sc. *ὁ ἀήρ*) *θεὸς δοκεῖ εἶναι καὶ ἐπὶ πᾶν ἀφῖχθαι καὶ πάντα δ ι α τ ι θ έ ν α ι καὶ ἐν παντὶ ἐνεῖναι.* Πρβλ. *διακεῖσθαι, διακοσμεῖν, διακόσμησις.*

διασσᾶσθαι. Περνῶ ἀπὸ κόσκινο, sift, Ἐμπεδοκλῆς 4.3 *ὡς δὲ παρ' ἡμετέρης κέλεται πιστώματα Μούσης, γνῶθι δ ι α σ σ η θ έ ν τ ο ς ἐνὶ σπλάγχνοισι λόγοιο.*

διατριβαί. Πραγματεῖες, studies/treatises, Ἀρχύτας 4 (τίτλ.) *ἐκ τῶν Ἀρχύτου δ ι α τ ρ ι β ῶ ν.*

ἀλλ' οὐδὲ μετακοσμηθῆναι ἀνυστόν· ὁ γὰρ κ ό σ μ ο ς ὁ πρόσθεν ἐὼν οὐκ ἀπόλλυται οὔτε ὁ μὴ ἐὼν γίνεται 'Εμπεδοκλῆς 26.5 *ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἕνα κ ό σ μ ο ν, ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορούμενα Νείκεος ἔχθει* **3.** Σύνθεση, ordered structure, Παρμενίδης 8.52 *δόξας δ' ἀπὸ τοῦδε βροτείας μάνθανε κ ό σ μ ο ν ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων* Δημόκριτος 21 *Ὅμηρος φύσεως λαχὼν θεαζούσης ἐπέων κ ό σ μ ο ν ἐτεκτήνατο παντοίων* **4.** Τμῆμα τοῦ σύμπαντος, portion of the universe, Φιλόλαος A 16 (DK II 403,22) τὰ δὲ ὑπὸ τὴν τοῦ ὀλύμπου φοράν, ἐν ᾧ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, *κ ό σ μ ο ν* **5.** Κόσμημα/διακόσμηση, ornament/adornment, Δημόκριτος 180 *ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κ ό σ μ ο ς, ἀτυχοῦσι δὲ καταφύγιον* 195 *εἴδωλα ἐσθῆτι καὶ κ ό σ μ ῳ διαπρεπέα πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεὰ* 274 *κ ό σ μ ο ς ὀλιγομυθίη γυναικί· καλὸν δὲ καὶ κ ό σ μ ο υ λιτότης* **6.** Σύστημα (πολιτικοκοινωνικό), ordered society (socio-political), Δημόκριτος 258.4 *δίκης καὶ θάρσεος καὶ κτήσεως (?) ἐν παντὶ κ ό σ μ ῳ μέζω μοῖραν μεθέξει* 259.4 *κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κ ό σ μ ῳ, ἐν ᾧ μὴ νόμος ἀπείργει.* Πρβλ. *διάκοσμος, διακόσμησις, κοσμεῖσθαι, διακοσμεῖν, μετακοσμεῖσθαι.*

Κότος. Μῖσος (προσωποπ.), Hatred (personif.), 'Εμπεδοκλῆς 21.7 *ἐν δὲ K ό τ ῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται* 121.2 *ἀτερπέα χῶρον, ἔνθα Φόνος τε K ό τ ο ς τε καὶ ἄλλων ἔθνεα Κηρῶν.*

κούρη. Βλ. **κόρη.**

κοῦρος (συνών. *νέος*). 'Αγόρι/νέος, boy/young man, Παρμενίδης 1.24 *ὦ κ ο ῦ ρ' ἀθανάτοισι συνάορος ἡνιόχοισιν* 17 *δεξιτεροῖσιν μὲν κ ο ύ ρ ο υ ς, λαιοῖσι δὲ κούρας* 'Εμπεδοκλῆς 117.1 *ἤδη γάρ ποτ' ἐγὼ γενόμην κ ο ῦ ρ ό ς τε κόρη τε θάμνος τ' οἰωνός τε καὶ ἔξαλος ἔλλοπος ἰχθύς.* Πρβλ. *ἄρρην, ἄνηβος.*

κραδαίνειν. Κραδαίνω/κινῶ, wave/move, Ξενοφάνης 25 *ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κ ρ α δ α ί ν ε ι.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

κρανέειν. 'Εκφράζω/φανερώνω, express/reveal, 'Εμπεδοκλῆς 111.2 *ἐπεὶ μούνῳ σοὶ ἐγὼ κ ρ α ν έ ω τάδε πάντα.*

κρᾶσις (τύπ. *κρῆσις*). Σύγκραση/σύσταση, blend/composition, Παρμενίδης 16.1 *ὡς γὰρ ἑκάστοτ' ἔχει κ ρ ᾶ σ ι ς μελέων πολυπλάγκτων, τὼς νόος ἀνθρώποισι παρίσταται* 'Εμπεδοκλῆς 21.14 *αὐτὰ γὰρ ἔστιν ταῦτα, δι' ἀλλήλων δὲ θέοντα γίγνεται ἀλλοιωπά· τόσον διὰ κ ρ ῆ σ ι ς ἀμείβει* 22.4-7 *ὡς δ' αὕτως ὅσα κ ρ ῆ σ ι ν ἐπαρκέα μᾶλλον ἔασιν, ἀλλήλοις ἔστερκται ὁμοιωθέντ' 'Αφροδίτῃ. ἐχθρὰ ⟨δ' ἂ⟩ πλεῖστον ἀπ' ἀλλήλων διέχουσι μάλιστα γέννῃ τε κ ρ ή σ ε ι τε καὶ εἴδεσιν ἐκμάκτοισι* Δημόκριτος A 135 (DK II 116,28) περὶ δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦτον εἴρηκεν ὅτι *γίνεται συμμέτρως ἐχούσης τῆς ψυχῆς κατὰ τὴν κ ρ ῆ σ ι ν* A 135 (DK II 117,35) ἔτι δ' *αὐτοὺς μεταβάλλειν τῇ κ ρ ή σ ε ι κατὰ τὰ πάθη* καὶ τὰς ἡλικίας. Πρβλ. *κεραννύναι, μειγνύναι, μίξις, διακρίνεσθαι.*

κρατεῖν 1. 'Επικρατῶ/κυβερνῶ, prevail/govern, 'Ηράκλειτος 114.4 *τρέφονται γὰρ πάντες οἱ ἀνθρώπειοι νόμοι ὑπὸ ἑνὸς τοῦ θείου· κ ρ α τ ε ῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνεται* **2.** 'Ισχύω, be valid, 'Εμπεδοκλῆς 4.1 *ἀλλὰ κακοῖς μὲν κάρτα μέλει κ ρ α τ έ ο υ σ ι ν ἀπιστεῖν* 17.29 καὶ 26.1 *ἐν δὲ μέρει κ ρ α τ έ ο υ σ ι περιπλομένοιο χρόνοιο* 'Αναξαγόρας A 100 (DK II 29,33) *ἀνάγκη ἄρα, ἐπεὶ πάντα νοεῖ, ἀμιγῆ εἶναι ... ἵνα κ ρ α τ ῇ* 12.8-13 *καὶ ἂν ἐκώλυεν αὐτὸν (sc. τὸν νοῦν) τὰ συμμεμειγμένα, ὥστε μηδενὸς χρήματος κ ρ α τ ε ῖ ν ὁμοίως ... καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νοῦς ἐ κ ρ ά τ η σ ε ν, ὥστε περιχωρῆσαι τὴν ἀρχὴν* **3.** 'Επικρατῶ/συγκροτῶ, prevail, 'Αναξαγόρας 12.12 *καὶ ὅσα γε ψυχὴν ἔχει καὶ τὰ μείζω καὶ τὰ ἐλάσσω, πάντων νοῦς κ ρ α τ ε ῖ* Διογένης 5.3 *καί μοι δοκεῖ τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλούμενος ὑπὸ τῶν ἀνθρώπων, καὶ ὑπὸ τούτου πάντας καὶ κυβερνᾶσθαι καὶ πάντων κ ρ α τ ε ῖ ν* **4.** Συγκρατῶ/κυριαρχῶ, control/be master of, Δημόκριτος 236 *θυμῷ μάχεσθαι μὲν χαλεπόν· ἀνδρὸς δὲ τὸ κ ρ α τ έ ε ι ν εὐλογίστου.*

κρατερός (συνών. *ἰσχυρός*, ἀντίθ. *ἀσθενής*). 'Ισχυρὸς/δυναστικός, powerful/mighty, Παρμενίδης 8.30 *κ ρ α τ ε ρ ὴ γὰρ 'Ανάγκη πείρατος ἐν δεσμοῖσιν ἔχει.* Πρβλ. *αὐτοκρατής.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

κρατύνειν 1. Ἐνδυναμώνω/στερεοποιῶ, strengthen/make firm, Ἐμπεδοκλῆς 73.2 *ὡς δὲ τότε χθόνα ... εἴδεα ποιπνύουσα θοῷ πυρὶ δῶκε κ ρ α τ ῦ ν α ι* **2.** (συνών. *κρατεῖν, δύνασθαι, ἰσχύειν*). Κρατῶ/συγκρατῶ, hold/control, Ἐμπεδοκλῆς 100.19 *αἰθὴρ δ' ἐκτὸς ἔσω λελιημένος ὄμβρον ἐρύκει, ἀμφὶ πύλας ἠθμοῖο δυσηχέος ἄκρα κ ρ α τ ύ ν ω ν.*

κρατυντήρια. Ἐνισχυτικά (ἐπιχειρήματα), strengthening (arguments), Δημόκριτος 8b (τίτλ.) *Κ ρ α τ υ ν τ ή ρ ι α* 9 *ἐν δὲ τοῖς Κ ρ α τ υ ν τ η ρ ί ο ι ς.*

κρείττων (τύπ. *κρείσσων, κρέσσων*) **1.** Καλύτερος/ἀξιότερος ποιοτικά, better/more valuable, Ἡράκλειτος 54 *ἁρμονίη ἀφανὴς φανερῆς κ ρ ε ί τ τ ω ν* Δημόκριτος 92 *χάριτας δέχεσθαι χρεὼν προσκοπευόμενον κ ρ έ σ σ ο ν α ς αὐτῶν ἀμοιβὰς ἀποδοῦναι* 181 *κ ρ ε ί σ σ ω ν ἐπ' ἀρετὴν φανεῖται προτροπῇ χρώμενος καὶ λόγου πειθοῖ* 185 *κ ρ έ σ σ ο ν έ ς εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος* 238 *τελευτᾷ γὰρ ἐς κακοδοξίην [κακὴν] ὁ παρεκτεινόμενος τῷ κ ρ έ σ σ ο ν ι* **2.** Ἰσχυρότερος/ὑπέρτερος, stronger/superior, Μέλισσος 8(5) *τοῦ γὰρ ἐόντος ἀληθινοῦ κ ρ ε ῖ σ σ ο ν οὐδὲν* Φιλόλαος 16 *εἶναί τινας λόγους κ ρ ε ί τ τ ο υ ς ἡμῶν* Πυθαγόρειοι C 2 (DK I 463, 8) *φωνὴ τῶν κ ρ ε ι τ τ ό ν ω ν* Δημόκριτος 214 *ἀνδρεῖος οὐχ ὁ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κ ρ έ σ σ ω ν* **3.** Καλύτερος/προτιμότερος, better/preferable, Δημόκριτος 295 *τὸ τέλειον οὖν ἀγαθὸν τοῦ μέλλοντος ἔτι καὶ ἀδήλου κ ρ έ σ σ ο ν.* || **κρεῖσσον (ἐστί)** (τύπ. *κρέσσον*). Ἡράκλειτος 95 *κρύπτειν ἀμαθίην κ ρ έ σ σ ο ν ἢ* εἰς τὸ μέσον φέρειν Δημόκριτος 60 *κ ρ έ σ σ ο ν τὰ οἰκήϊα ἐλέγχειν ἁμαρτήματα ἢ τὰ ὀθνεῖα* 66 *προβουλεύεσθαι κ ρ ε ῖ σ σ ο ν πρὸ τῶν πράξεων ἢ μετανοεῖν* 75 *κ ρ έ σ σ ο ν ἄρχεσθαι τοῖς ἀνοήτοισιν ἢ ἄρχειν.*

κρήνη. Κρήνη, spring, Ἐμπεδοκλῆς 143 *κ ρ η ν ά ω ν ἄπο πέντε ταμόντ' ⟨ἐν⟩ ἀτειρέι χαλκῷ.* Πρβλ. *κρούνωμα, πηγή.*

κρίνειν 1. Κρίνω/δικάζω, judge, Ἡράκλειτος 66 *πάντα γὰρ... τὸ πῦρ ἐπελθὸν κ ρ ι ν ε ῖ καὶ καταλήψεται* **2.** Κρίνω/ὑποβάλλω σὲ βάσανο, judge/put to the test, Παρμενίδης 7.5 *κ ρ ῖ ν α ι δὲ λόγῳ πολύδηριν ἔλεγχον* **3.** Κρίνω/διακρίνω, discern, Ἀναξα-

Ακαδημία Αθηνών / Academy of Athens

γόρας 21 *ὑπ' ἀφαυρότητος ... οὐ δυνατοί ἐσμεν κ ρ ί ν ε ι ν τἀληθὲς* **4.** Κρίνω/κατατάσσω, estimate/include, Δημόκριτος 173.4 *οὐ δίκαιον ἐν κακοῖσι τὰ τοιάδε κ ρ ί ν ε ι ν.* || **κρίνεσθαι 1.** Κρίνομαι, be judged/be decided, Παρμενίδης 8.16 *κ έ κ ρ ι τ α ι δ' οὖν, ὥσπερ ἀνάγκη* **2.** Διακρίνω/ξεχωρίζω, distinguish/discriminate, Παρμενίδης 8.55 *τἀντία δ' ἐ κ ρ ί ν α ν τ ο δέμας καὶ σήματ' ἔθεντο* 'Εμπεδοκλῆς 62.2 *ἐννυχίους ὄρπηκας ἀνήγαγε κ ρ ι ν ό μ ε ν ο ν πῦρ.*

κρίσις 1. Κρίση/ἀπόφαση, judgement/decision, Παρμενίδης 8.15 *ἡ δὲ κ ρ ί σ ι ς περὶ τούτων ἐν τῷδ' ἔστιν* **2.** Κρίση/διάκριση, distinction, Μέλισσος 7(9) *κ ρ ί σ ι ν δὲ ταύτην χρὴ ποιήσασθαι τοῦ πλέω καὶ τοῦ μὴ πλέω.*

κρούνωμα. Πηγὴ νεροῦ, source of water, 'Εμπεδοκλῆς 6.3 *Νῆστίς θ', ἣ δακρύοις τέγγει κ ρ ο ύ ν ω μ α βρότειον.* Πρβλ. *κρήνη, πηγή.*

κρυμός (συνών. *ψῦχος*, ἀντίθ. *ἀλέα, θερμότης*). Κρύο/ψῦχος, cold, Δημόκριτος A 152 (DK II 125,38) *οὐκοῦν ἐν κ ρ υ μ ῷ μέν, φησὶν ὁ 'Αβδηρίτης, συμμένει, ἐν ἀλέᾳ δὲ ὡς τὰ πολλὰ ἐκπτύεται (sc. τὸ ἔμβρυον).*

κρύπτειν. Κρύπτω/ἀποκρύπτω, conceal, 'Ηράκλειτος 93 *ὁ ἄναξ, οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς, οὔτε λέγει οὔτε κ ρ ύ π τ ε ι ἀλλὰ σημαίνει.* || 'Ηράκλειτος 95 *ἀμαθίην γὰρ ἄμεινον κ ρ ύ π τ ε ι ν ... κ ρ ύ π τ ε ι ν ἀμαθίην κρέσσον* || **κρύπτεσθαι.** 'Ηράκλειτος 123 *φύσις ... κ ρ ύ π τ ε σ θ α ι φιλεῖ.*

κρύφος. Κρύψιμο, concealment, 'Εμπεδοκλῆς 27.3 *οὕτως 'Αρμονίης πυκινῷ κ ρ ύ φ ῳ ἐστήρικται.*

κτᾶσθαι. 'Αποκτῶ / κερδίζω, acquire/gain, 'Εμπεδοκλῆς 110.4 *ἄλλα τε πόλλ' ἀπὸ τῶνδ' ἐ κ τ ή σ ε α ι* 129.2 *ὃς δὴ μήκιστον πραπίδων ἐ κ τ ή σ α τ ο πλοῦτον* 132.1 *ὄλβιος, ὃς θείων πραπίδων ἐ κ τ ή σ α τ ο πλοῦτον* Δημόκριτος 276 *οὐ δοκεῖ μοι χρῆναι παῖδας κ τ ᾶ σ θ α ι* 278.2-4 *ἀνθρώποισι τῶν ἀναγκαίων δοκεῖ εἶναι παῖδας κ τ ή σ α σ θ α ι ἀπὸ φύσιος καὶ καταστάσιός*

Ακαδημία Αθηνών / Academy of Athens

τινος ἀρχαίης ... πάντα γὰρ ἔκγονα κ τ ᾶ τ α ι κατὰ φύσιν ἐπωφελείης γε οὐδεμιᾶς εἵνεκα 279.5 *ἅμα μὲν γὰρ πολλὸν φειδότεροι γίγνονται ἐς τὰ χρήματα καὶ προθυμότεροι κ τ ᾶ σ θ α ι, καὶ ἀγωνίζονται ἀλλήλοισιν.* || **κέκτημαι.** Ἔχω, have, Δημόκριτος 218 *πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄνειδος κ έ κ τ η τ α ι* 275 *τεκνοτροφίη σφαλερόν· τὴν μὲν γὰρ ἐπιτυχίην ἀγῶνος μεστὴν καὶ φροντίδος κ έ κ τ η τ α ι, τὴν δὲ ἀποτυχίην ἀνυπέρθετον ἑτέρῃ ὀδύνῃ.*

κτέανον. Κτῆμα/περιουσιακὸ ἀγαθό, estate/property, Ξενοφάνης 2.8 *καί κεν σῖτ' εἴη δημοσίων κ τ ε ά ν ω ν.* Πρβλ. *κτᾶσθαι.*

κτείνειν. Φονεύω/σκοτώνω, kill, Δημόκριτος 257 *τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικεῖν ἀθῷος ὁ κ τ ε ί ν ω ν* 258 *κ τ ε ί ν ε ι ν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντὸς* 259.4 *κατὰ νόμους τοὺς πατρίους κ τ ε ί ν ε ι ν πολέμιον ἐν παντὶ κόσμῳ* 260 *κιξάλλην καὶ λῃστὴν πάντα κ τ ε ί ν ω ν τις ἀθῷος ἂν εἴη.*

κτῆμα. Κτῆμα, domain, Φιλόλαος 15 *τοὺς ἀνθρώπους ἓν τῶν κτημάτων τοῖς θεοῖς εἶναι* Δημόκριτος 77 *δόξα καὶ πλοῦτος ἄνευ ξυνέσιος οὐκ ἀσφαλέα κ τ ή μ α τ α.*

κτῆσις 1. Ἰδιοκτησία/περιουσία, possession/property, Δημόκριτος 258 *εὐθυμίης (?) καὶ δίκης καὶ θάρσεος καὶ κ τ ή σ ε ω ς (?) ἐν παντὶ κόσμῳ μέζω μοῖραν μεθέξει* 285.4 *ὅκως ἄν τις μετρίης τε κ τ ή σ ι ο ς ἐπιμέληται* **2.** Κτήση/ἀπόκτηση, acquisition, Δημόκριτος 276 *ἐνορῶ γὰρ ἐν παίδων κ τ ή σ ε ι πολλοὺς μὲν καὶ μεγάλους κινδύνους.*

κτίλος. Ἥμερος, tame, Ἐμπεδοκλῆς 130.1 *ἦσαν δὲ κ τ ί λ α πάντα καὶ ἀνθρώποισι προσηνῆ, θῆρές τ' οἰωνοί τε, φιλοφροσύνη τε δεδήει.* Πρβλ. *προσηνής.*

κυβερνᾶν. Κυβερνῶ/διευθύνω, govern/direct, Ἡράκλειτος 41 *ἓν τὸ σοφόν, ἐπίστασθαι γνώμην, ὁτέη ἐ κ υ β έ ρ ν η σ ε πάντα διὰ πάντων.* Παρμενίδης 12.3 *ἐν δὲ μέσῳ τούτων δαίμων ἣ πάντα κ υ β ε ρ ν ᾷ.* || **κυβερνᾶσθαι.** Διογένης 5.3 *καί μοι δοκεῖ τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλούμενος ὑπὸ τῶν ἀνθρώπων,*

Ακαδημία Αθηνών / Academy of Athens

καὶ ὑπὸ τούτου πάντας καὶ κ υ β ε ρ ν ᾶ σ θ α ι καὶ πάντων κρατεῖν. Πρβλ. *οἰακίζειν.*

κῦδος (συνών. *κλέος*). Καύχημα/δόξα, glory/fame, Δημόκριτος 215 *δίκης κ ῦ δ ο ς γνώμης θάρσος καὶ ἀθαμβίη, ἀδικίης δὲ δεῖμα ξυμφορῆς τέρμα.*

κυδρός. Ἄξιος τιμῆς/ἔνδοξος, worthy of honour/glorious, Ξενοφάνης 2.6 *ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο ... ἀστοῖσίν κ' εἴη κ υ δ ρ ό τ ε ρ ο ς προσορᾶν.* Πρβλ. *κῦδος.*

κυεῖν. Μένω ἔγκυος/συλλαμβάνω, become pregnant/conceive, Δημόκριτος A 151 (DK II 125, 16) *δοκεῖ δέ μοι ... ὄνον ἵππον βιασαμένου κατὰ τύχην κ υ ῆ σ α ι, μαθητὰς δὲ ἀνθρώπους τῆς βίας ταύτης γεγενημένους.*

κυκεών. Κυκεών (ὑδαρὲς μεῖγμα πολλῶν συστατικῶν), mixed drink, Ἡράκλειτος 125 *καὶ ὁ κ υ κ ε ὼ ν διίσταται ⟨μὴ⟩ κινούμενος.*

κύκλος 1. Κύκλος (γεωμετρικὸ σχῆμα), circle, Ἡράκλειτος 103 *ξυνὸν γὰρ ἀρχὴ καὶ πέρας ἐπὶ κ ύ κ λ ο υ περιφερείας* Ἀναξαγόρας A 38 (DK II 14,34) *ἀλλ'* Ἀναξαγόρας *μὲν ἐν τῷ δεσμωτηρίῳ τὸν τοῦ κ ύ κ λ ο υ τετραγωνισμὸν ἔγραφε* Δημόκριτος 111 (τίτλ.) *Περὶ διαφορῆς γνώμης ἢ Περὶ ψαύσιος κ ύ κ λ ο υ καὶ σφαίρης.* Πρβλ. *περιφερής, περιχώρησις.* || **περὶ κύκλον.** Κυκλοτερῶς, circularly, Ἐμπεδοκλῆς 38.4 *γαιά τε καὶ πόντος πολυκύμων ἠδ' ὑγρὸς ἀὴρ Τιτὰν ἠδ' αἰθὴρ σφίγγων περὶ κ ύ κ λ ο ν ἅπαντα* **2.** Κύκλος/τροχός, circle/wheel, Παρμενίδης 1.8 *ἄξων δ' ἐν χνοίῃσιν ἵει σύριγγος ἀυτὴν αἰθόμενος (δοιοῖς γὰρ ἐπείγετο δινωτοῖσιν κ ύ κ λ ο ι ς ἀμφοτέρωθεν).* Πρβλ. *τροχὸς* **3.** Κύκλος/δίσκος, circle/disk, Ἐμπεδοκλῆς 43 *ὡς αὐγὴ τύψασα σεληναίης κ ύ κ λ ο ν εὐρὺν* 47 *ἀθρεῖ μὲν γὰρ ἄνακτος ἐναντίον ἀγέα κ ύ κ λ ο ν* **4.** Ὁ κύκλος τῆς γενέσεως, the cycle of creation, Ἐμπεδοκλῆς 17.13 *καὶ* 26.12 *ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κ ύ κ λ ο ν* 26.1 *ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο κ ύ κ λ ο ι ο* 35.10 *οὐ γὰρ ἀμεμφέως τῶν πᾶν ἐξέστηκεν ἐπ' ἔσχατα τέρματα κ ύ κ λ ο υ.*

κυκλοτερής. Κυκλοτερής, rounded/circular, Ἐμπεδοκλῆς

Ακαδημία Αθηνών / Academy of Athens

27.4 καὶ 28.2 *Σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέι γαίων.* ‖ Ἐμπεδοκλῆς 45 *κυκλοτερὲς περὶ γαῖαν ἐλίσσεται ἀλλότριον φῶς.*

κύκλωψ. Κυκλοθωροῦσα/γυροβλεποῦσα, round-seeing, Παρμενίδης 10.4 *ἔργα τε κύκλωπος πεύσῃ περίφοιτα σελήνης* Ἐμπεδοκλῆς 84.8 *λεπτῇσιν ⟨τ'⟩ ὀθόνῃσι λοχάζετο κύκλοπα κούρην.*

κυματοειδῶς. Κυματοειδῶς, wavelike, Δημόκριτος 126 *ὅσα κυματοειδῶς ἀνὰ τὴν πορείαν πλάζεται.*

κυματωγή. Κυματοθραύστης/ἀκτή, wave-breaker/shore, Δημόκριτος 164.6 *καθάπερ ὁρᾶν πάρεστιν ἐπί τε τῶν κοσκινευομένων σπερμάτων καὶ ἐπὶ τῶν παρὰ ταῖς κυματωγαῖς ψηφίδων.*

Κύπρις (συνών. *Ἀφροδίτη*). Κύπρις, Cypris, Ἐμπεδοκλῆς 73.1 *ὡς δὲ τότε χθόνα Κύπρις ... εἶδεα ποιπνύουσα θοῷ πυρὶ δῶκε κρατῦναι* 75.2 *Κύπριδος ἐν παλάμῃσι πλάδης τοιῆσδε τυχόντα* 95 *Κύπριδος ... ἐν παλάμῃσιν ὅτε ξὺμ πρῶτ' ἐφύοντο* 98.3 *Κύπριδος ὁρμισθεῖσα τελείοις ἐν λιμένεσσιν* 128.3 *οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς οὐδὲ Κυδοιμὸς ... ἀλλὰ Κύπρις βασίλεια.*

κύρειν 1. Συναντῶ, fall upon, Παρμενίδης 8.49 *ὁμῶς ἐν πείρασι κύρει* **2.** Ἐπιτυγχάνω, attain, Δημόκριτος 243 *τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες.* Πρβλ. *προσκυρεῖν.*

κύριος. Κύριος/ἀποφασιστικός, dominant/decisive, Δημόκριτος 269 *τόλμα πρήξιος ἀρχή, τύχη δὲ τέλεος κυρίη.*

κωλύειν 1. Ἐμποδίζω/ἀποτρέπω, obstruct/prevent, Ἀναξαγόρας 12.7 *καὶ ἂν ἐκώλυεν αὐτὸν τὰ συμμεμειγμένα* Δημόκριτος 38 *καλὸν μὲν τὸν ἀδικέοντα κωλύειν· εἰ δὲ μή, μὴ ξυνα-δικέειν* Ἀρχύτας 3.16 *τοὺς δὲ μὴ ἐπισταμένους, ἐν αὐτῷ δηλώσας ἀδικοῦντας, ἐκώλυσεν ἀδικῆσαι* **2.** Ἐμποδίζω/ἀπαγορεύω, hinder/prohibit, Δημόκριτος 191.17 *δι' ἐπιθυμίην τοῦ τι πρήσσειν ἀνήκεστον ὧν νόμοι κωλύουσιν* 245 *οὐκ ἂν ἐκώλυον*

Ακαδημία Αθηνών / Academy of Athens

οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἑτέρου ἐλυμαίνετο.

κωλυτήρ. Παρεμποδιστής, hinderer, Ἀρχύτας 3.13 *κανὼν δὲ καὶ κ ω λ υ τ ὴ ρ τῶν ἀδικούντων.*

κωφός. Κουφός, deaf, Ἡράκλειτος 34 *ἀξύνετοι ἀκούσαντες κ ω φ ο ῖ σ ι ν ἐοίκασι* Παρμενίδης 6.7 *κ ω φ ο ὶ ὁμῶς τυφλοί τε, τεθηπότες, ἄκριτα φῦλα, οἷς τὸ πέλειν τε καὶ οὐκ εἶναι ταὐτὸν νενόμισται κοὐ ταὐτόν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Λ

λαγχάνειν. Ἀποκτῶ/μοῦ λαχαίνει, acquire/it falls to my lot, Ξενοφάνης 2.10 *ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο... ταῦτά κε πάντα λ ά χ ο ι—οὐκ ἐὼν ἄξιος ὥσπερ ἐγὼ* 6.2 *τίμιον ἀνδρὶ λ α χ ε ῖ ν* Ἡράκλειτος 25 *μόροι γὰρ μέζονες μέζονας μοίρας λ α γ χ ά ν ο υ σ ι* Ἐμπεδοκλῆς 115.5 *δαίμονες οἵτε μακραίωνος λ ε λ ά χ α σ ι βίοιο* Δημόκριτος 21 *Ὅμηρος φύσεως λ α χ ὼ ν θεαζούσης ἐπέων κόσμον ἐτεκτήνατο παντοίων.* || **δίκην λαγχάνειν τινί.** Πρβλ. *δίκη*.

λάθρῃ (ἀντίθ. *φανερῶς*). Λάθρα/κρυφά, covertly/in secret, Δημόκριτος 181 *λ ά θ ρ ῃ μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ νόμου, τὸν δὲ ἐς τὸ δέον ἠγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λ ά θ ρ ῃ οὔτε φανερῶς ἔρδειν τι πλημμελές.*

λάινος. Πέτρινος, made of stone, Παρμενίδης 1.12 *λ ά ι ν ο ς οὐδός.*

λαμβάνειν 1. Παίρνω/πιάνω, take/grasp, Ἡράκλειτος 56 *ὅσα εἴδομεν καὶ ἐ λ ά β ο μ ε ν, ταῦτα ἀπολείπομεν, ὅσα δὲ οὔτε εἴδομεν οὔτ' ἐ λ ά β ο μ ε ν, ταῦτα φέρομεν* Ἀρχύτας 1.27 *αἰ γάρ τις ῥάβδον λ α β ὼ ν κινοῖ νωθρῶς τε καὶ ἀσθενέως, τᾷ πλαγᾷ βαρὺν ποιήσει τὸν ψόφον.* || **(καιροῦ) λαβέσθαι.** Ἁρπάζω τὴν εὐκαιρία, seize the opportunity, Δημόκριτος 87 *τὸν φαῦλον παραφυλάττειν δεῖ, μὴ κ α ι ρ ο ῦ λ ά β η τ α ι* **2.** Λαμβάνω/δέχομαι, receive/accept, Δημόκριτος 93 *χαριζόμενος προσκέπτεο τὸν λ α μ β ά ν ο ν τ α, μὴ κακὸν ἀντ' ἀγαθοῦ κίβδηλος ἐὼν ἀποδῷ* 94 *μικραὶ χάριτες ἐν καιρῷ μέγισται τοῖς λ α μ β ά ν ο υ σ ι* Ἀρχύτας 3.10 *διὰ τοῦτον οὖν (sc. τὸν λογισμόν) οἱ πένητες λ α μ β ά ν ο ν τ ι παρὰ τῶν δυναμένων, οἵ τε πλούσιοι διδόντι τοῖς δεομένοις, πιστεύοντες ἀμφότεροι διὰ τούτω τὸ ἴσον ἕξειν.*

Ακαδημία Αθηνών / Academy of Athens

λαμπάς. Λαμπάδα/πυρσός, wax candle/torch, Παρμενίδης 10.3 *εἴση δ' αἰθερίαν τε φύσιν τά τ' ἐν αἰθέρι πάντα σήματα καὶ καθαρᾶς εὐαγέος ἠελίοιο λ α μ π ά δ ο ς ἔργ' ἀίδηλα.* Πρβλ. *λάμπειν, λαμπρός, λαμπτήρ.*

λάμπειν. Λάμπω, shine/radiate, Ἐμπεδοκλῆς 84.6 *φῶς δ' ἔξω διαθρῴσκον, ὅσον ταναώτερον ἦεν, λ ά μ π ε σ κ ε ν κατὰ βηλὸν ἀτειρέσιν ἀκτίνεσσιν.* Πρβλ. *λαμπάς, λαμπρός, λαμπτήρ.*

λαμπρὸς (ἀντίθ. *ζοφερός, σκότιος, σκοτόεις*) **1.** Λαμπρὸς/φωτερός, bright/luminous, Ἀναξαγόρας 4.16 *ἀπεκώλυε γὰρ ἡ σύμμιξις πάντων χρημάτων ... καὶ τοῦ λ α μ π ρ ο ῦ καὶ τοῦ ζοφεροῦ* 12.24 *ἀποκρίνεται ... ἀπὸ τοῦ ζοφεροῦ τὸ λ α μ π ρ ὸ ν καὶ ἀπὸ τοῦ διεροῦ τὸ ξηρόν.* || Ἀναξαγόρας 18 *ἥλιος ἐντίθησι τῇ σελήνῃ τὸ λ α μ π ρ ό ν.* Πρβλ. *λαμπάς, λαμπρότης, φῶς, φανὸν* **2.** Λαμπρὸς/ἐξαίρετος, brilliant/distinguished, Δημόκριτος 157.3 *τοὺς πόνους διώκειν, ἀφ' ὧν τὰ μεγάλα καὶ λ α μ π ρ ὰ γίνονται τοῖς ἀνθρώποις*

λαμπτήρ (συνών. *λαμπάς*). Λαμπάδα/πυρσός, lantern, Ἐμπεδοκλῆς 84.3 *ἄψας παντοίων ἀνέμων λ α μ π τ ῆ ρ α ς ἀμοργούς, οἵ τ' ἀνέμων μὲν πνεῦμα διασκιδνᾶσιν ἀέντων.*

λανθάνειν 1. Μένω ἀνεπίγνωστος/ἀγνοοῦμαι, be unnoticed/be unknown, Ἡράκλειτος 1.8 *τοὺς δὲ ἄλλους ἀνθρώπους λ α ν θ ά ν ε ι ὁκόσα ἐγερθέντες ποιοῦσιν, ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται* **2.** Διαλανθάνω/διαφεύγω τὴν ἀντίληψη, stay undetectable/elude perception, Ἡράκλειτος 16 *τὸ μὴ δῦνόν ποτε πῶς ἄν τις λ ά θ ο ι ;* || Ἀρχύτας 3.15 *οὐ δυνασοῦνται λ α θ ε ῖ ν.*

λαός. Λαὸς/τὸ σύνολο τῶν πολιτῶν, people/the totality of citizens, Ξενοφάνης 2.15 *οὔτε γὰρ εἰ πύκτης ἀγαθὸς λ α ο ῖ σ ι μετείη.*

λαρινός. Παχύς, fat/thick, Ξενοφάνης 6.2 *ταύρου λ α ρ ι ν ο ῦ.*

λάσιος. Δασὺς/δασωμένος, thick/shaggy, Ἐμπεδοκλῆς 27.2 *οὐδ' αἴης λ ά σ ι ο ν μένος οὐδὲ θάλασσα.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

λαχνήεις. Τριχωτός, hairy, Ἐμπεδοκλῆς 67 *μέλανες διὰ τοῦτο καὶ ἁδρομελέστεροι ἄνδρες καὶ λ α χ ν ή ε ν τ ε ς μᾶλλον* 134.3 *οὐ πόδες, οὐ θοὰ γοῦν(α), οὐ μήδεα λ α χ ν ή ε ν τ α.*

λέγειν 1. Λέγω/ὁμιλῶ, say/talk, Ξενοφάνης 8.4 *εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λ έ γ ε ι ν ἐτύμως* 22.1 *πὰρ πυρὶ χρὴ τοιαῦτα λ έ γ ε ι ν χειμῶνος ἐν ὥρῃ* Ἡράκλειτος 19 *ἀκοῦσαι οὐκ ἐπιστάμενοι οὐδ' εἰπεῖν* 56 *ἐκεῖνόν τε γὰρ παῖδες φθεῖρας κατακτείνοντες ἐξηπάτησαν ε ἰ π ό ν τ ε ς* 73 *οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λ έ γ ε ι ν* 112 *σωφρονεῖν ἀρετὴ μεγίστη, καὶ σοφίη ἀληθέα λ έ γ ε ι ν καὶ ποιεῖν κατὰ φύσιν ἐπαΐοντας* 114 *ξὺν νόῳ λ έ γ ο ν τ α ς ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως* Παρμενίδης 2.1 *εἰ δ' ἄγ' ἐγὼν ἐ ρ έ ω* 6.1 *χρὴ τὸ λ έ γ ε ι ν τε νοεῖν τ' ἐὸν ἔμμεναι* Ἐμπεδοκλῆς 17.15 *ὡς γὰρ καὶ πρὶν ἔ ε ι π α* Δημόκριτος 2 *τὸ εὖ λογίζεσθαι, τὸ εὖ λ έ γ ε ι ν καὶ τὸ πράττειν ἃ δεῖ* 86 *πλεονεξίη τὸ πάντα λ έ γ ε ι ν, μηδὲν δὲ ἐθέλειν ἀκούειν* 244 *φαῦλον, κἂν μόνος ᾖς, μήτε λ έ ξ η ς μήτ' ἐργάσῃ* Ἀρχύτας 1.30 *ὅκκα ἄμμες ἢ λ έ γ ο ν τ ε ς ἢ ἀείδοντες* **2.** Λέγω/ἐκθέτω, tell/expose, Ξενοφάνης 34.2-3 *καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴδεν οὐδέ τις ἔσται εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λ έ γ ω περὶ πάντων· εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένον ε ἰ π ὼ ν* Ἀλκμαίων 1 *Ἀλκμαίων Κροτωνιήτης τάδε ἔ λ ε ξ ε* Ἐμπεδοκλῆς 8.1 *ἄλλο δέ τοι ἐ ρ έ ω* 17.1-16 *δίπλ' ἐ ρ έ ω* 38.1 *εἰ δ' ἄγε τοι λ έ ξ ω* Ἀναξαγόρας 4.11 *ταῦτα μὲν οὖν μοι λ έ λ ε κ τ α ι περὶ τῆς ἀποκρίσιος* 12.6 *ὥσπερ ἐν τοῖς πρόσθεν μοι λ έ λ ε κ τ α ι* Διογένης 2.1 *ἐμοὶ δὲ δοκεῖ τὸ μὲν ξύμπαν ε ἰ π ε ῖ ν* Δημόκριτος 165 *λ έ γ ω τάδε περὶ τῶν ξυμπάντων* **3.** Λέγω/ἐκφράζω, speak/express, Ἡράκλειτος 93 *ὁ ἄναξ, οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς, οὔτε λ έ γ ε ι οὔτε κρύπτει ἀλλὰ σημαίνει* Παρμενίδης 8.1 *κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον ἐξ ἐμέθεν ῥ η θ έ ν τ α* Ἐμπεδοκλῆς 3.7 *μηδέ σέ γ' εὐδόξοιο βιήσεται ἄνθεα τιμῆς πρὸς θνητῶν ἀνελέσθαι, ἐφ' ᾧ θ' ὁσίης πλέον ε ἰ π ε ῖ ν θάρσεῖ* **4.** Λέγω/ὀνομάζω, call/name, Ἡράκλειτος 32 *ἓν τὸ σοφὸν μοῦνον λ έ γ ε σ θ α ι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς ὄνομα* Ἐμπεδοκλῆς 9.3 *τότε μὲν τὸ ⟨λ έ γ ο υ σ ι⟩ γενέσθαι, εὖτε δ' ἀποκρινθῶσι* **5.** Λέγω/ἰσχυρίζομαι, assert/maintain, Ζήνων 1.6 *ὅμοιον δὴ τοῦτο ἅπαξ τε*

Ακαδημία Αθηνών / Academy of Athens

εἰπεῖν καὶ ἀεὶ λέγειν Δημόκριτος 30 *πάντα ⟨εἶπαν⟩ Ζεὺς μυθέεται.*

λειμών. Λειμώνας/λιβάδι, meadow, Ἐμπεδοκλῆς 66 *σχιστοὺς λειμῶνας ... Ἀφροδίτης* 121.4 *Ἄτης ἀν λειμῶνα.*

λείπεσθαι. Ὑπολείπομαι/ἀπομένω, be left/remain, Παρμενίδης 8.2 *μόνος δ' ἔτι μῦθος ὁδοῖο λείπεται ὡς ἔστιν* Δημόκριτος 228 *τὸ γὰρ ἴχνιον μοῦνον λέλειπται τῶν ποδῶν.*

λελιημένος. Βλ. **λιλαίεσθαι.**

λεπίς. Λέπι, scale, Ἐμπεδοκλῆς 82.2 *ταὐτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ πυκνὰ καὶ λεπίδες γίγνονται ἐπὶ στιβαροῖσι μέλεσσιν.*

λεπτὸς 1 (ἀντίθ. *πυκνός*). Λεπτὸς/λεπτοφυής, fine/thin, Ἀναξαγόρας A 92 (DK II 28,21) καὶ γὰρ τὴν ὀσμήν ... σχεδὸν δὲ ὡς εἰπεῖν οὐκ αἰσθάνεσθαι τὰ μὲν μεγάλα (sc. ζῷα) τῆς *λεπτῆς ἀέρος*, τὰ δὲ μικρὰ τῆς πυκνῆς. ||(ἀντίθ. *παχύς*). Διογένης 6.50 *τὸ δ' αἷμα τὸ μὲν παχύτατον ὑπὸ τῶν σαρκωδῶν ἐκπίνεται· ὑπερβάλλον δὲ εἰς τοὺς τόπους τούτους λεπτὸν καὶ θερμὸν καὶ ἀφρῶδες γίνεται* **2.** λεπτοφυὴς/λεπτοΰφαντος, finely composed/finely woven, Ἐμπεδοκλῆς 84.8 *ὡς δὲ τότ' ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ, λεπτῇσιν ⟨τ'⟩ ὀθόνῃσι λοχάζετο κύκλοπα κούρην, ⟨αἳ⟩ χοάνῃσι δίαντα τετρήατο θεσπεσίῃσιν* **3** (συνών. *στεινός, στεινωπός*, ἀντίθ. *πλατύς, εὐρύς*). Στενός, narrow/tight, Διογένης 6.13-15-26-41-45 *σχίζεται δ' αὐτῶν ἄκρα ἑκατέρα, ἡ μὲν ἐπὶ τὸν μέγαν δάκτυλον, ἡ δ' ἐπὶ τὸν ταρσόν, ἀπὸ δὲ τούτων λεπταὶ καὶ πολύοζοι ἐπὶ τὴν ἄλλην χεῖρα καὶ δακτύλους. ἕτεραι δὲ λεπτότεραι ἀπὸ τῶν πρώτων φλεβῶν τείνουσιν... σχίζονται δὲ καὶ ἐπὶ τὴν κοιλίαν καὶ τὸ πλευρὸν πολλαὶ ἀπ' αὐτῶν καὶ λεπταὶ φλέβες ... ἕτεραι δ' εἰσὶν αἱ ἀπὸ ἑκατέρας τείνουσαι διὰ τοῦ νωτιαίου μυελοῦ εἰς τοὺς ὄρχεις λεπταί ... (αἱ δὲ φλέβες αἱ μὲν πρῶται ἐκ τῆς κοιλίας εὐρύτεραί εἰσιν, ἔπειτα λεπτότεραι γίγνονται, ἕως ἂν μεταβάλλωσιν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερὰ καὶ ἐκ τούτων εἰς τὰ δεξιά)* **4** (συνών. *ἀκριβής*). Λεπτὸς/ἀκριβής, fine/accurate Ἀναξαγόρας 12.9 *ἔστι γὰρ (sc. νοῦς) λεπτότατόν τε πάντων χρη-*

Ακαδημία Αθηνών / Academy of Athens

μάτων Δημόκριτος 11.7-9 *ὅταν ἡ σκοτίη (sc. γνώμη) μηκέτι δύνηται μήτε ὁρῆν ἐπ' ἔλαττον ... ἀλλ' ἐπὶ λ ε π τ ό τ ε ρ ο ν ⟨δέῃ ζητεῖν, τότε ἐπιγίνεται ἡ γνησίη ἅτε ὄργανον ἔχουσα τοῦ νῶσαι λ ε π τ ό τ ε ρ ο ν⟩* **5.** Ἰσχνὸς/εὔθραυστος, meagre/fragile, Δημόκριτος 276.4 *ἐνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λ ε π τ ά τε καὶ ἀσθενέα.*

λεσχηνεύεσθαι 1. Συνομιλῶ, converse with, Ἡράκλειτος 5 *ὁκοῖον εἴ τις δόμοισι λ ε σ χ η ν ε ύ ο ι τ ο* **2.** Φλυαρῶ, chat, Δημόκριτος 85 *ὁ ἀντιλογεόμενος καὶ πολλὰ λ ε σ χ η ν ε υ ό μ ε ν ο ς.*

λευκὸς 1 (ἀντίθ. *μέλας*). Λευκός, white, Μέλισσος 8(2) *καὶ μέλαν καὶ λ ε υ κ ὸ ν καὶ τὰ ἄλλα, ὅσα φασὶν οἱ ἄνθρωποι εἶναι ἀληθῆ* Ἐμπεδοκλῆς 33 *ὡς δ' ὅτ' ὀπὸς γάλα λ ε υ κ ὸ ν ἐγόμφωσεν καὶ ἔδησε* 68 *μηνὸς ἐν ὀγδοάτου δεκάτῃ πύον ἔπλετο λ ε υ κ ὸ ν* 96.3 *τὰ δ' ὀστέα λ ε υ κ ὰ γένοντο Ἁρμονίης κόλλῃσιν ἀρηρότα θεσπεσίηθεν* Ἀναξαγόρας 22 *τὸ καλούμενον... ὄρνιθος γάλα τὸ ἐν τοῖς ᾠοῖς ... λ ε υ κ ὸ ν* **2.** Λαμπερός, bright, Ἐμπεδοκλῆς 21.3 *ἠέλιον μὲν λ ε υ κ ὸ ν ὁρᾶν καὶ θερμὸν ἁπάντῃ, ἄμβροτα δ' ὅσσ' εἴδει τε καὶ ἀργέτι δεύεται αὐγῇ.*

λεύσειν (συνών. *ὁρᾶν*). Βλέπω/θεῶμαι, see, Παρμενίδης 4.1 *λ ε ῦ σ σ ε δ' ὅμως ἀπεόντα νόῳ παρεόντα βεβαίως* Ἐμπεδοκλῆς 129.5 *ὁππότε γὰρ πάσῃσιν ὀρέξαιτο πραπίδεσσιν, ῥεῖ' ὅ γε τῶν ὄντων πάντων λ ε ύ σ σ ε σ κ ε ν ἕκαστον καί τε δέκ' ἀνθρώπων καί τ' εἴκοσιν αἰώνεσσιν.*

λήγειν. Λήγω/παύω, cease/stop, Ἐμπεδοκλῆς 17.6-12 *καὶ ταῦτ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λ ή γ ε ι ... ᾗ δὲ διαλλάσσοντα διαμπερὲς οὐδαμὰ λ ή γ ε ι* 26.11 *ᾗ δὲ τάδ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λ ή γ ε ι.* Πρβλ. *ἀπολήγειν.*

Λήθη. Λήθη/λησμοσύνη, oblivion/forgetfulness, Δημόκριτος 196 *λ ή θ η τῶν ἰδίων κακῶν θρασύτητα γεννᾷ.*

ληναΐζειν. Ἑορτάζω τὰ Λήναια/βακχεύω, celebrate the Lenaia/act with frenzy, Ἡράκλειτος 15 *ὠυτὸς δὲ Ἀίδης καὶ Διόνυσος, ὅτεῳ μαίνονται καὶ λ η ν α ΐ ζ ο υ σ ι ν.*

Ακαδημία Αθηνών / Academy of Athens

λῃστής. Ληστής, robber, Δημόκριτος 260 *κιξάλλην καὶ λ ῃ σ τ ὴ ν πάντα κτείνων τις ἀθῷος ἂν εἴη.* Πρβλ. *κιξάλλης.*

λιάζεσθαι. 'Αποσύρομαι/ξεμοναχιάζομαι, retire, 'Εμπεδοκλῆς 2.8 *ἐπεὶ ὧδ' ἐ λ ι ά σ θ η ς.*

λιθόρρινος. Λιθόδερμος/σκληρόδερμος, stone-skinned/hard-skinned, 'Εμπεδοκλῆς 76.2 *κηρύκων τε λ ι θ ο ῤ ῥ ί ν ω ν χελύων τε.* Πρβλ. *ῥινός.*

λίθος. Λίθος/πέτρα, stone, 'Αναξίμανδρος 5 *λ ί θ ῳ κίονι τὴν γῆν προσφερῆ* Μέλισσος 8(3) *δοκεῖ ... καὶ χρυσὸς καὶ λ ί θ ο ς καὶ ἄλλο ὅ,τι ἰσχυρὸν δοκεῖ εἶναι πᾶν, ἐξ ὕδατός τε γῆ καὶ λ ί θ ο ς γίνεσθαι* 'Αναξαγόρας 16 *ἐκ μὲν γὰρ τῶν νεφελῶν ὕδωρ ἀποκρίνεται, ἐκ δὲ τοῦ ὕδατος γῆ.* || **λίθος (ἡ).** Μαγνήτης, magnet, Δημόκριτος 11k (τίτλ.) *Περὶ τῆς λ ί θ ο υ.*

λιλαίεσθαι. Ποθῶ σφόδρα/προσπαθῶ ἔντονα, desire strongly/try intensely, 'Εμπεδοκλῆς 100.18 *αἰθὴρ δ' ἐκτὸς ἔσω λ ε λ ι η μ έ ν ο ς ὄμβρον ἐρύκει.*

λιμός (ἀντίθ. *κόρος*). Πεῖνα, hunger, 'Ηράκλειτος 67 *ὁ θεὸς ἡμέρη εὐφρόνη, χειμὼν θέρος, πόλεμος εἰρήνη, κόρος λ ι μ ὸ ς* 111 *νοῦσος ὑγιείην ἐποίησεν ἡδὺ καὶ ἀγαθόν, λ ι μ ὸ ς κόρον, κάματος ἀνάπαυσιν* Δημόκριτος 229 *φειδώ τοι καὶ λ ι μ ὸ ς χρηστή· ἐν καιρῷ δὲ καὶ δαπάνη* 246 *ξενιτείη βίου αὐτάρκειαν διδάσκει· μᾶζα γὰρ καὶ στιβὰς λ ι μ ο ῦ καὶ κόπου γλυκύτατα ἰάματα.*

λιπόξυλος 1. 'Ελλιπὴς/ἀνολοκλήρωτος, lacking/incomplete, 'Εμπεδοκλῆς 21.2 *εἴ τι καὶ ἐν προτέροισι λ ι π ό ξ υ λ ο ν ἔπλετο μορφῇ* **2.** 'Ελλιπὴς/ἀσταθής, lacking/unstable, 'Εμπεδοκλῆς 71.1 *εἰ δέ τί σοι περὶ τῶνδε λ ι π ό ξ υ λ ο ς ἔπλετο πίστις.*

λίσσεσθαι. 'Ικετεύω, beseech/implore, 'Εμπεδοκλῆς 137.3 *οἱ δ' ἀπορεῦνται λ ι σ σ ό μ ε ν ο ν θύοντες.*

λιτότης. Λιτότητα/ἁπλότητα, frugality/simplicity, Δημόκριτος 274 *κόσμος ὀλιγομυθίη γυναικί· καλὸν δὲ καὶ κόσμου λ ι τ ό τ η ς.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

λίφαιμος. Ἀναιμικός, anaemic, Ἐμπεδοκλῆς 100.1 *ὧδε δ' ἀναπνεῖ πάντα καὶ ἐκπνεῖ· πᾶσι λ ί φ α ι μ ο ι σαρκῶν σύριγγες πύματον κατὰ σῶμα τέτανται.*

λίψ. Λίβας/ὁ νοτιοδυτικὸς ἄνεμος, south-west wind, Δημόκριτος 14 (DK II 145,1) ἄνεμον *λ ί β α* πνεῦσαι λέγει.

λογίζεσθαι 1. Διαλογίζομαι/σκέπτομαι, reflect/think, Δημόκριτος 2 *τὸ εὖ λ ο γ ί ζ ε σ θ α ι, τὸ εὖ λέγειν καὶ τὸ πράττειν ἃ δεῖ* **2.** Ὑπολογίζω δίκαια, reckon rightly, Ἀρχύτας 3.14 *κανὼν δὲ καὶ κωλυτὴρ τῶν ἀδικούντων ⟨ἐών⟩ (sc. ὁ λογισμός) τοὺς μὲν ἐπισταμένους λ ο γ ί ζ ε σ θ α ι πρὶν ἀδικεῖν ἔπαυσε, πείσας ὅτι οὐ δυνασοῦνται λαθεῖν, ὅταν ἐπ' αὐτὸν ἔλθωντι.* Πρβλ. *λογισμός.*

λογικά (τά). Λογική, logic, Δημόκριτος 10b (τίτλ.). *Περὶ λ ο γ ι κ ῶ ν ἢ Κανών A B Γ.*

λόγιος. Λόγιος/σοφός, learned/wise, Δημόκριτος 30 *τῶν λ ο γ ί ω ν ἀνθρώπων ὀλίγοι ἀνατείναντες τὰς χεῖρας ἐνταῦθα, ὃν νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες.*

λογισμὸς 1. Λογικὴ δύναμη/τὸ λογικό, reasoning faculty/rationality, Δημόκριτος 187 *ψυχῆς μὲν γὰρ τελεότης σκήνεος μοχθηρίην ὀρθοῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λ ο γ ι σ μ ο ῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησιν* **2.** Στοχασμὸς/ἐνέργεια τοῦ λογικοῦ, meditation/reasoning, Δημόκριτος 290 *λύπην ἀδέσποτον ψυχῆς ναρκώσης λ ο γ ι σ μ ῷ ἔκκρουε* **3.** Ὑπολογισμὸς (ὡς μέθοδος ἐξισωτικῆς κοινωνικῆς πολιτικῆς), calculation (as a method of equalizing social policy), Ἀρχύτας 3.7 *στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λ ο γ ι σ μ ὸ ς εὑρεθείς.*

λογιστικά (ἡ). Τέχνη λογισμοῦ/διαλεκτική, art of reasoning/dialectic, Ἀρχύτας 4.1-4 *καὶ δοκεῖ ἁ λ ο γ ι σ τ ι κ ὰ ποτὶ τὰν σοφίαν τῶν μὲν ἀλλᾶν τεχνῶν καὶ πολὺ διαφέρειν, ἀτὰρ καὶ τᾶς γεωμετρικᾶς ἐναργεστέρω πραγματεύεσθαι ἃ θέλει... καὶ ἃ ἐκλείπει αὖ ἁ γεωμετρία, καὶ ἀποδείξιας ἁ λ ο γ ι σ τ ι κ ὰ ἐπιτελεῖ καὶ ὁμῶς, εἰ μὲν εἰδέων τεὰ πραγματεία, καὶ τὰ περὶ τοῖς εἴδεσιν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

λόγος 1. Λόγος/ὁμιλία, word/speech, Ξενοφάνης 1.14 *χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας εὐφήμοις μύθοις καὶ καθαροῖσι λ ό γ ο ι ς* Παρμενίδης 1.15 *τὴν δὴ παρφάμεναι κοῦραι μαλακοῖσι λ ό γ ο ι σ ι ν πεῖσαν ἐπιφραδέως* Δημόκριτος 53a *πολλοὶ δρῶντες τὰ αἴσχιστα λ ό γ ο υ ς ἀρίστους ἀσκέουσιν* 55 *ἔργα καὶ πρήξιας ἀρετῆς, οὐ λ ό γ ο υ ς, ζηλοῦν χρειὼν* 82 *κίβδηλοι καὶ ἀγαθοφανέες οἱ λ ό γ ῳ μὲν ἅπαντα, ἔργῳ δὲ οὐδὲν ἔρδοντες* 110 *γυνὴ μὴ ἀσκείτω λ ό γ ο ν* 145 *λ ό γ ο ς... ἔργου σκιὴ* 177 *οὔτε λ ό γ ο ς ἐσθλὸς φαύλην πρῆξιν ἀμαυρίσκει οὔτε πρῆξις ἀγαθὴ λ ό γ ο υ βλασφημίῃ λυμαίνεται* **2.** Λόγος/ἔκθεση νοημάτων, discourse, Ξενοφάνης 7.1 *νῦν αὖτ' ἄλλον ἔπειμι λ ό γ ο ν, δείξω δὲ κέλευθον* Ἡράκλειτος 87 *βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λ ό γ ῳ ἐπτοῆσθαι φιλεῖ* Παρμενίδης 8.50 *ἐν τῷ σοι παύω πιστὸν λ ό γ ο ν ἠδὲ νόημα ἀμφὶς ἀληθείης* Μέλισσος 8(1) *μέγιστον μὲν οὖν σημεῖον οὗτος ὁ λ ό γ ο ς, ὅτι ἓν μόνον ἔστιν* Ἐμπεδοκλῆς 4.3 *ὡς δὲ παρ' ἡμετέρης κέλεται πιστώματα Μούσης, γνῶθι διασσηθέντος ἐνὶ σπλάγχνοισι λ ό γ ο ι ο* 17.26 *σὺ δ' ἄκουε λ ό γ ο υ στόλον οὐκ ἀπατηλὸν* 35.2 *αὐτὰρ ἐγὼ παλίνορσος ἐλεύσομαι ἐς πόρον ὕμνων, τὸν πρότερον κατέλεξα, λ ό γ ο υ λ ό γ ο ν ἐξοχετεύων, κεῖνον* 131.4 *νῦν αὖτε παρίστασο, Καλλιόπεια, ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λ ό γ ο ν ἐμφαίνοντι* Φιλόλαος 11.18 *ἐν τοῖς ἀνθρωπικοῖς ἔργοις καὶ λ ό γ ο ι ς* Διογένης 1 *λ ό γ ο υ παντὸς ἀρχόμενον δοκεῖ μοι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι, τὴν δὲ ἑρμηνείαν ἁπλῆν καὶ σεμνὴν* Δημόκριτος 7 *δηλοῖ μὲν δὴ καὶ οὗτος ὁ λ ό γ ο ς, ὅτι ἐτεῇ οὐδὲν ἴσμεν περὶ οὐδενός, ἀλλ' ἐπιρυσμίη ἑκάστοισιν ἡ δόξις* 76 *νηπίοισιν οὐ λ ό γ ο ς, ἀλλὰ ξυμφορὴ γίνεται διδάσκαλος* 181.2 *κρείσσων ἐπ' ἀρετὴν φανεῖται προτροπῇ χρώμενος καὶ λ ό γ ο υ πειθοῖ ἤπερ νόμῳ καὶ ἀνάγκῃ* 190 *φαύλων ἔργων καὶ τοὺς λ ό γ ο υ ς παραιτητέον* **3.** Λόγος, reason, Ἡράκλειτος 1.2-4 *τοῦ δὲ λ ό γ ο υ τοῦδ' ἐόντος ἀεὶ ἀξύνετοι γίνονται ἄνθρωποι καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον· γινομένων γὰρ πάντων κατὰ τὸν λ ό γ ο ν τόνδε ἀπείροισιν ἐοίκασι* 2 *τοῦ λ ό γ ο υ δ' ἐόντος ξυνοῦ ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν* 50 *οὐκ ἐμοῦ, ἀλλὰ τοῦ λ ό γ ο υ ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν ἓν πάντα εἶναι* 72 *ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι λ ό γ ῳ ... τούτῳ*

Ακαδημία Αθηνών / Academy of Athens

διαφέρονται. || ‘Ηράκλειτος 45 *ψυχῆς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροιο, πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λ ό γ ο ν ἔχει* 115 *ψυχῆς ἐστι λ ό γ ο ς ἑαυτὸν αὔξων* Δημόκριτος 53 *πολλοὶ λ ό γ ο ν μὴ μαθόντες ζῶσι κατὰ λ ό γ ο ν* 146 *τὸν λ ό γ ο ν ... αὐτὸν ἐξ ἑαυτοῦ τὰς τέρψιας ἐθιζόμενον λαμβάνειν* **4.** Μέτρο/ἀναλογία, measure/proportion, ‘Ηράκλειτος 31 *⟨γῆ⟩ θάλασσα διαχέεται, καὶ μετρέεται εἰς τὸν αὐτὸν λ ό γ ο ν, ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γῆ* Φιλόλαος 11.14 *νῦν δὲ οὗτος (*sc. *ὁ ἀριθμός) καττὰν ψυχὰν ἁρμόζων ... καὶ σχίζων τοὺς λ ό γ ο υ ς χωρὶς ἑκάστους τῶν πραγμάτων τῶν τε ἀπείρων καὶ τῶν περαινόντων* ’Αρχύτας 2.4 *ἀριθμητικὰ μέν, ὅκκα ἔωντι τρεῖς ὅροι κατὰ τὰν τοίαν ὑπεροχὰν ἀνὰ λ ό γ ο ν· ᾧ πρᾶτος δευτέρου ὑπερέχει, τούτῳ δεύτερος τρίτου ὑπερέχει* **5.** Λόγος/φήμη, report/fame, ‘Ηράκλειτος 39 *ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ πλείων λ ό γ ο ς ἢ τῶν ἄλλων* **6.** Λόγος/κριτικὴ δύναμη, reason/critical ability, Παρμενίδης 7.5 *κρῖναι δὲ λ ό γ ῳ πολύδηριν ἔλεγχον ἐξ ἐμέθεν ῥηθέντα* ’Αναξαγόρας 7 *ὥστε τῶν ἀποκρινομένων μὴ εἰδέναι τὸ πλῆθος μήτε λ ό γ ῳ μήτε ἔργῳ* **7.** Λόγος/ἐπιχειρηματολογία, discourse/argumentation, ‘Ηράκλειτος 108 *ὁκόσων λ ό γ ο υ ς ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον* Ζήνων 1.4 *καὶ περὶ τοῦ προύχοντος ὁ αὐτὸς λ ό γ ο ς* Μέλισσος 7(6) *καὶ περὶ τοῦ ἀνιᾶσθαι ὡυτὸς λ ό γ ο ς τῷ ἀλγέοντι* Δημόκριτος 51 *ἰσχυρότερος ἐς πειθὼ λ ό γ ο ς πολλαχῇ γίνεται χρυσοῦ* **8.** Λόγος/λογισμός, reason/reasoning, Φιλόλαος 16 *εἶναί τινας λ ό γ ο υ ς κρείττους ἡμῶν* **9.** Λόγος/αἰτία, ground/cause, Λεύκιππος 2 *οὐδὲν χρῆμα μάτην γίνεται, ἀλλὰ πάντα ἐκ λ ό γ ο υ τε καὶ ὑπ’ ἀνάγκης.*

λοχάζεσθαι. Καλύπτομαι/κρύπτομαι, be covered/be concealed, ’Εμπεδοκλῆς 84.8 *ὡς δὲ τότ’ ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ λεπτῇσιν ⟨τ’⟩ ὀθόνῃσι λ ο χ ά ζ ε τ ο κύκλοπα κούρην, ⟨αἳ⟩ χοάνῃσι δίαντα τετρήατο θεσπεσίῃσιν.*

λυγρός (συνών. *χαλεπός*).”Αθλιος/θλιβερός, wretched/painful ’Εμπεδοκλῆς 22.8 *ἐχθρὰ ⟨δ’ ἃ⟩ πλεῖστον ἀπ’ ἀλλήλων διέχουσι μάλιστα γένῃ τε κρήσει τε καὶ εἴδεσιν ἐκμάκτοισι, πάντῃ συγ-*

Ακαδημία Αθηνών / Academy of Athens

γίνεσθαι ἀήθεα καὶ μάλα λ υ γ ρ ά. Πρβλ. *ἐχθρός, ὀλέθριος, δείλαιος.*

λύεσθαι (τύπ. *λύθεν*, ἀντίθ. *πήγνυσθαι*). Διαλύομαι, be dissolved/be decomposed, Ἐμπεδοκλῆς 15.4 *πρὶν δὲ πάγεν τε βροτοὶ καὶ ⟨ἐπεὶ⟩ λ ύ θ ε ν.*

λυμαίνεσθαι 1. Βλάπτομαι/ζημιώνομαι, be harmed/suffer a loss, Δημόκριτος 177 *οὔτε λόγος ἐσθλὸς φαύλην πρῆξιν ἀμαυρίσκει οὔτε πρῆξις ἀγαθὴ λόγου βλασφημίῃ λ υ μ α ί ν ε τ α ι* **2.** Βλάπτω/ζημιώνω, harm/cause damage, Δημόκριτος 245 *οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐ λ υ μ α ί ν ε τ ο.*

λυπεῖν (συνών. *ἀνιᾶν, ἀλγύνειν*). Προκαλῶ πόνο/προξενῶ λύπη, bring on pain/cause sorrow, Διογένης 6.38 *καὶ φαίνονται παρά τε τὴν σπληνῖτιν καὶ τὴν ἡπατῖτιν ἕτεραι ὀλίγον ἐλάττους, ἃς ἀποσχῶσιν ὅταν τι ὑπὸ τὸ δέρμα λ υ π ῇ* Δημόκριτος 88 *ὁ φθονέων ἑωυτὸν ὡς ἐχθρὸν λ υ π έ ε ι.* || **λυπεῖσθαι** (συνών. *ἀλγεῖν*, ἀντίθ. *ἥδεσθαι, χαίρειν*). Θλίβομαι/στενοχωροῦμαι, grieve/be distressed, Δημόκριτος 231 *εὐγνώμων ὁ μὴ λ υ π ε ό μ ε ν ο ς ἐφ' οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐφ' οἷσιν ἔχει.*

λύπη. Λύπη/θλίψη, sorrow/grief, Δημόκριτος 235.5 *τοῖσι πᾶσιν αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται ... αἱ δὲ λ ῦ π α ι πολλαὶ* 290 *λ ύ π η ν ἀδέσποτον ψυχῆς ναρκώσης λογισμῷ ἔκκρουε.* || Δημόκριτος 276 *ἐνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λ ύ π α ς, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα.* Πρβλ.. *ἀδημοσύνη, ἀτερπίη.*

λύρα. Λύρα, lyre, Ἡράκλειτος 51 *παλίντροπος ἁρμονίη ὅκωσπερ τόξου καὶ λ ύ ρ η ς* Πυθαγόρειοι C 2 (DK I 463,2) *Μουσῶν λ ύ ρ α ν.*

λωφᾶν. Ἀνακουφίζω, relieve/soothe, Ἐμπεδοκλῆς 145.2 *τοιγάρτοι χαλεπῇσιν ἀλύοντες κακότησιν οὔποτε δειλαίων ἀχέων λ ω φ ή σ ε τ ε θυμόν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

M

μᾶζα. Κριθαρόψωμο/κριθαρόπιττα, barley bread, Δημόκριτος 246 *ξενιτείη βίου αὐτάρκειαν διδάσκει· μ ᾶ ζ α γὰρ καὶ στιβὰς λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.*

μάθη. Βλ. **μάθησις.**

μαθήματα (συνών. *μαθηματικά*). Μαθηματικὲς ἐπιστῆμες/τὰ μαθηματικά, mathematical science/mathematics, Ἀρχύτας 1.1-8 *καλῶς μοι δοκοῦντι τοὶ περὶ τὰ μ α θ ή μ α τ α διαγνώμεναι, καὶ οὐθὲν ἄτοπον ὀρθῶς αὐτούς, οἷά ἐντι, περὶ ἑκάστων φρονέειν ... ταῦτα γὰρ τὰ μ α θ ή μ α τ α δοκοῦντι ἦμεν ἀδελφεὰ* 3 (τίτλ.) *Περὶ μ α θ η μ ά τ ω ν.*

μαθηματικά (συνών. *μαθήματα*). Τὰ μαθηματικὰ/ἡ μαθηματικὴ ἐπιστήμη, mathematics/the science of mathematics, Ἀρχύτας 3 (τίτλ.) *Περὶ μ α θ η μ α τ ι κ ῶ ν.*

μαθηματική. Ἡ μαθηματικὴ ἐπιστήμη, the science of mathematics, Ἀρχύτας 1 (τίτλ.) *ἐν τῷ Περὶ μ α θ η μ α τ ι κ ῆ ς.*

μάθησις (τύπ. *μάθη*, ἀντίθ. *ἀμαθίη*). Μάθηση, learning, Ἡράκλειτος 55 *ὅσων ὄψις ἀκοὴ μ ά θ η σ ι ς, ταῦτα ἐγὼ προτιμέω* Ἐμπεδοκλῆς 17.14 *ἀλλ' ἄγε μύθων κλῦθι· μ ά θ η γάρ τοι φρένας αὔξει* Δημόκριτος 85 *ὁ ἀντιλογεόμενος καὶ πολλὰ λεσχηνευόμενος ἀφυὴς ἐς μ ά θ η σ ι ν ὢν χρὴ* 182 *τὰ μὲν καλὰ χρήματα τοῖς πόνοις ἡ μ ά θ η σ ι ς ἐξεργάζεται, τὰ δ' αἰσχρὰ ἄνευ πόνων αὐτόματα καρποῦται.*

μαθητής. Μαθητής, student, Δημόκριτος Α 151 (DK II 125,16) *μ α θ η τ ὰ ς δὲ ἀνθρώπους τῆς βίας ταύτης γεγενημένους* 154 *μ α θ η τ ὰ ς (sc. τῶν ζῴων) ἐν τοῖς μεγίστοις γεγονότας ἡμᾶς.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

μαίνεσθαι 1. Μαίνομαι/εἶμαι τρελλός, be maddened, Ἡράκλειτος 5 *μ α ί ν ε σ θ α ι δ' ἂν δοκοίη, εἴ τις αὐτὸν ἀνθρώπων ἐπιφράσαιτο οὕτω ποιέοντα* **2.** Μαίνομαι/κατέχομαι ἀπὸ βακχεία, be possessed by bacchic frenzy, Ἡράκλειτος 15 *ὠυτὸς δὲ Ἀίδης καὶ Διόνυσος, ὅτεῳ μ α ί ν ο ν τ α ι καὶ ληναΐζουσιν* 92 *Σίβυλλα δὲ μ α ι ν ο μ έ ν ῳ στόματι ... ἀγέλαστα... φθεγγομένη* **3.** Μαίνομαι/εἶμαι μανιασμένος, be infuriated, Ἐμπεδοκλῆς 115.14 *νείκεῖ μ α ι ν ο μ έ ν ῳ πίσυνος.*

μάκαρες 1. Οἱ μακάριοι/οἱ θεοί, the blessed/the gods, Ἐμπεδοκλῆς 115.6 *τρίς μιν μυρίας ὥρας ἀπὸ μ α κ ά ρ ω ν ἀλάλησθαι* **2.** Μακάριοι, blessed, Ἐμπεδοκλῆς 131.4 *ἀμφὶ θεῶν μ α κ ά ρ ω ν ἀγαθὸν λόγον ἐμφαίνοντι.* Πρβλ. *θεός.*

μακαρίζειν. Μακαρίζω/καλοτυχίζω, bless/call fortunate, Δημόκριτος 191.14-20 *μ α κ α ρ ι ζ ο μ έ ν ο υ ς ὑπὸ τῶν ἄλλων ἀνθρώπων ... μ α κ α ρ ί ζ ε ι ν ἑωυτόν.*

μακραίων. Μακραίων/μακροχρόνιος, long-lasting, Ἐμπεδοκλῆς 115.5 *δαίμονες οἵτε μ α κ ρ α ί ω ν ο ς λελάχασι βίοιο.*

μακρὸς 1. Μακρὺς/βαθύς, long/deep, Ἐμπεδοκλῆς 54 *αἰθὴρ ⟨δ' αὖ⟩ μ α κ ρ ῇ σ ι κατὰ χθόνα δύετο ῥίζαις* **2.** Μακρύς/ὑψηλός, long/tall, Ἐμπεδοκλῆς 72 *πῶς καὶ δένδρεα μ α κ ρ ὰ καὶ εἰνάλιοι καμασῆνες* **3.** Μακρὺς/ἐκτεταμένος, long/extended, Δημόκριτος 230 *βίος ἀνεόρταστος μ α κ ρ ὴ ὁδὸς ἀπανδόκευτος* Ἀρχύτας 1.53 *τὸ γὰρ αὐτὸ πνεῦμα διὰ μὲν τ ῶ μ α κ ρ ῶ τόπῳ ἀσθενὲς ἐκφέρεται, διὰ δὲ τῶ μείονος σφοδρόν.*

μάλα. Πολύ, much, Ξενοφάνης 2.13 *εἰκῇ μ ά λ α τοῦτο νομίζεται* Ἡράκλειτος 35 *χρὴ γὰρ εὖ μ ά λ α πολλῶν ἵστορας φιλοσόφους ἄνδρας εἶναι* Παρμενίδης 8.3-28 *ταύτῃ δ' ἐπὶ σήματ' ἔασι πολλὰ μ ά λ', ὡς ... τῆλε μ ά λ' ἐπλάχθησαν* Ἐμπεδοκλῆς 22.8 *ἀήθεα καὶ μ ά λ α λυγρὰ* 110.3 *ταῦτά τέ σοι μ ά λ α πάντα δι' αἰῶνος παρέσονται* 114.2 *μ ά λ α δ' ἀργαλέη γε τέτυκται.*

μαλθακός (ἀντίθ. *σκληρός*). Μαλακός, soft, Μέλισσος 8(3) *τὸ σκληρὸν μ α λ θ α κ ὸ ν καὶ τὸ μ α λ θ α κ ὸ ν σκληρόν.*

μάλιστα. Μάλιστα/πάρα πολύ, most, Δημόκριτος 232 *τῶν*

Ακαδημία Αθηνών / Academy of Athens

ἡδέων τὰ σπανιώτατα γινόμενα μ ά λ ι σ τ α τέρπει 264 *ἀλλ' ἑωυτὸν μ ά λ ι σ τ α αἰδεῖσθαι* 277.5 *καὶ ὃς ἂν δοκῇ ἐπιτήδειος εἶναι, κἂν μ ά λ ι σ τ α κατὰ φύσιν ἕποιτο* 279.1 *τοῖς παισὶ μ ά λ ι σ τ α χρὴ τῶν ἀνυστῶν δατεῖσθαι τὰ χρήματα.*

μᾶλλον. Μᾶλλον/περισσότερο, more, Παρμενίδης 8.23-48 *οὐδέ τι τῇ μ ᾶ λ λ ο ν, τό κεν εἴργοι μιν συνέχεσθαι, οὐδέ τι χειρότερον ... τῇ μ ᾶ λ λ ο ν τῇ δ' ἧσσον* Δημόκριτος 244 *φαῦλον, κἂν μόνος ᾖς, μήτε λέξῃς μήτ' ἐργάσῃ· μάθε δὲ πολὺ μ ᾶ λ λ ο ν τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι* 254 *οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς ὁκόσῳ ἂν μ ᾶ λ λ ο ν ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μ ᾶ λ λ ο ν ἀνακηδέες γίγνονται καὶ ἀφροσύνης καὶ θράσεος πίμπλανται* 257 *κατὰ δὲ ζῴων ἔστιν ὧν φόνου καὶ μὴ φόνου ὧδε ἔχει· τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικεῖν ἀθῷος ὁ κτείνων, καὶ πρὸς εὐεστοῦν τοῦτο ἔρδειν μ ᾶ λ λ ο ν ἢ μὴ* 264 *μηδέν τι μ ᾶ λ λ ο ν τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ μηδέ τι μ ᾶ λ λ ο ν ἐξεργάζεσθαι κακὸν* 265 *τῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται μ ᾶ λ λ ο ν ἢ τῶν εὖ πεποιημένων. καὶ γὰρ δίκαιον οὕτως.*

μανθάνειν 1. Μαθαίνω/ἀποκτῶ ἕξη, learn/acquire a habit, Ξενοφάνης 3.1 *ἁβροσύνας δὲ μ α θ ό ν τ ε ς ἀνωφελέας παρὰ Λυδῶν ... ἦεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες* Δημόκριτος 244 *φαῦλον, κἂν μόνος ᾖς, μήτε λέξῃς μήτ' ἐργάσῃ· μ ά θ ε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι* **2.** Μαθαίνω/ἀποκτῶ γνώσεις, learn/acquire knowledge, Ξενοφάνης 10 *ἐξ ἀρχῆς καθ' Ὅμηρον ἐπεὶ μ ε μ α θ ή κ α σ ι πάντες* Ἡράκλειτος 17 *οὐ γὰρ φρονέουσι τοιαῦτα πολλοί, ὁκόσοι ἐγκυρεῦσιν, οὐδὲ μ α θ ό ν τ ε ς γινώσκουσιν, ἑωυτοῖσι δὲ δοκέουσι* Παρμενίδης 8.52 *δόξας δ' ἀπὸ τοῦδε βροτείας μ ά ν θ α ν ε κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων* Ἀρχύτας 3.1-3 *δεῖ γὰρ ἢ μ α θ ό ν τ α παρ' ἄλλω ἢ αὐτὸν ἐξευρόντα ... τὸ μὲν ὧν μ α θ ὲ ν παρ' ἄλλω καὶ ἀλλοτρίᾳ, τὸ δὲ ἐξευρὲν δι' αὑταυτον καὶ ἰδίᾳ* **3.** Μαθαίνω/ἐννοῶ, learn/understand, Παρμενίδης 1.31 *ἀλλ' ἔμπης καὶ ταῦτα μ α θ ή σ ε α ι, ὡς τὰ δοκοῦντα χρῆν δοκίμως εἶναι διὰ παντὸς πάντα περῶντα* **4.** Μαθαίνω/συνηθίζω, learn/become familiar with, Ἐμπεδοκλῆς 17.9 *καὶ* 26.8 *οὕτως ἦ μὲν ἓν ἐκ πλεόνων μ ε μ ά θ η κ ε φύεσθαι ἠδὲ πάλιν διαφύντος ἑνὸς πλέον' ἐκτελέθουσι* 35.14 *αἶψα δὲ θνήτ' ἐφύοντο, τὰ πρὶν*

Ακαδημία Αθηνών / Academy of Athens

μ ά θ ο ν ἀθάνατ' εἶναι **5.** Μαθαίνω/διδάσκομαι, learn/be taught, Δημόκριτος 53 *πολλοὶ λόγον μὴ μ α θ ό ν τ ε ς ζῶσι κατὰ λόγον* 59 *οὔτε τέχνη οὔτε σοφίη ἐφικτόν, ἢν μὴ μ ά θ ῃ τις* 179 †ἐξωτικῶς† *μὴ πονεῖν παῖδες ἀνιέντες οὔτε γράμματ' ἂν μ ά θ ο ι ε ν οὔτε μουσικὴν οὔτε ἀγωνίην οὐδ' ὅπερ μάλιστα τὴν ἀρετὴν συνέχει, τὸ αἰδεῖσθαι.*

μανία (ἀντίθ. *σωφροσύνη*). Μανία/ἀλλοφροσύνη, mania/madness, Ἐμπεδοκλῆς 3.1 *ἀλλὰ θεοὶ τῶν μὲν μ α ν ί η ν ἀποτρέψατε γλώσσης, ἐκ δ' ὁσίων στομάτων καθαρὴν ὀχετεύσατε πηγήν.*

μανός (συνών. *ἀραιός, λεπτός*, ἀντίθ. *πυκνός*). Ἀραιός, rare, Ἐμπεδοκλῆς 75.1 *τῶν δ' ὅσ' ἔσω μὲν πυκνά, τὰ δ' ἔκτοθι μ α ν ὰ πέπηγε.* Πρβλ. *μάνωσις.*

μαντεῖον. Μαντεῖον, oracle, Ἡράκλειτος 93 *ὁ ἄναξ, οὗ τὸ μ α ν τ ε ῖ ό ν ἐστι τὸ ἐν Δελφοῖς, οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνει.*

μαντεύεσθαι. Μαντεύω/φαντάζομαι, suppose/imagine, Ἐμπεδοκλῆς 15.1 *οὐκ ἂν ἀνὴρ τοιαῦτα σοφὸς φρεσὶ μ α ν τ ε ύ σ α ι τ ο.*

μάντις. Μάντης, seer/soothsayer, Ἐμπεδοκλῆς 146.1 *εἰς δὲ τέλος μ ά ν τ ε ι ς τε καὶ ὑμνοπόλοι καὶ ἰητροὶ ... πέλονται* Φιλόλαος 14 *μαρτυρέονται δὲ καὶ οἱ παλαιοὶ θεολόγοι τε καὶ μ ά ν τ ι ε ς.*

μάνωσις (ἀντίθ. *πύκνωσις*). Ἀραίωση, rarefaction, Ἀναξιμένης A 5 (DK I 91,23) *τὴν μ ά ν ω σ ι ν ... καὶ πύκνωσιν.* Πρβλ. *μανός.*

μαργαίνειν. Μαίνομαι, be wild, Δημόκριτος 147 *σύες ἐπὶ φορυτῷ μ α ρ γ α ί ν ο υ σ ι ν.*

μάργος. Μανιασμένος, rushing, Ἐμπεδοκλῆς 100.7 *αἰθὴρ παφλάζων καταΐσσεται οἴδματι μ ά ρ γ ῳ.*

μαρτυρεῖν. Μαρτυρῶ/ἐπιβεβαιώνω, testify/confirm, Ἡράκλειτος 34 *ἀξύνετοι ἀκούσαντες κωφοῖσιν ἐοίκασι· φάτις αὐτοῖσιν μ α ρ τ υ ρ ε ῖ παρεόντας ἀπεῖναι.* ||**μαρτυρεῖσθαι.** Φιλόλαος 14 *μ α ρ τ υ ρ έ ο ν τ α ι δὲ καὶ οἱ παλαιοὶ θεολόγοι τε καὶ μάντιες.*

Ακαδημία Αθηνών / Academy of Athens

μάρτυς. Μάρτυρας, witness, Ἡράκλειτος 28 *Δίκη καταλήψεται ψευδῶν τέκτονας καὶ μ ά ρ τ υ ρ α ς* 101a *ὀφθαλμοὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μ ά ρ τ υ ρ ε ς* 107 *κακοὶ μ ά ρ τ υ ρ ε ς ἀνθρώποισιν ὀφθαλμοὶ καὶ ὦτα βαρβάρους ψυχὰς ἐχόντων.*

μαστός. Μαστός, breast, Διογένης 6.39 *τείνουσι δὲ καὶ ὑπὸ τοὺς μ α σ τ ο ὺ ς ἀπὸ τούτων ἕτεραι (sc. φλέβες).*

μασχάλη. Μασχάλη, armpit, Διογένης 6.10 *ἕτεραι δ' ὀλίγον ἀνωτέρω διὰ τῶν στηθῶν ὑπὸ τὴν μ α σ χ ά λ η ν εἰς ἑκατέραν τὴν χεῖρα τὴν παρ' ἑαυτῆ.*

ματαιοπονεῖν. Ματαιοπονῶ, work in vain, Δημόκριτος 52 *τὸν οἰόμενον νοῦν ἔχειν ὁ νουθετέων μ α τ α ι ο π ο ν ε ῖ.*

μάτην (συνών. *εἰκῇ, κατὰ τύχην*, ἀντίθ. *λόγος, ἀνάγκη*). Μάταια/τυχαῖα, at random, Λεύκιππος 2 *οὐδὲν χρῆμα μ ά τ η ν γίνεται, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης.*

μάχεσθαι 1. Μάχομαι/ἀγωνίζομαι, oppose/fight for, Ἡράκλειτος 44 *μ ά χ ε σ θ α ι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου ὅκωσπερ τείχεος* **2.** Μάχομαι/καταπολεμῶ, fight against, Ἡράκλειτος 85 *θυμῷ μ ά χ ε σ θ α ι χαλεπόν· ὃ γὰρ ἂν θέλῃ, ψυχῆς ὠνεῖται* Δημόκριτος 236 *θυμῷ μ ά χ ε σ θ α ι μὲν χαλεπόν· ἀνδρὸς δὲ τὸ κρατέειν εὐλογίστου* **3.** Μάχομαι/ἀντιμάχομαι, contend/conflict with, Δημόκριτος 119.2 *βαιὰ γὰρ φρονήσει τύχη μ ά χ ε τ α ι, τὰ δὲ πλεῖστα ἐν βίῳ εὐξύνετος ὀξυδερκείη κατιθύνει.*

μάχη. Μάχη, battle, Ξενοφάνης 1.21 *οὔτι μ ά χ α ς διέπων Τιτήνων οὐδὲ Γιγάντων.*

μεγαλογκίη (ἀντίθ. *εὐογκίη*). Ὑπέρμετρο μέγεθος/ὑπερβολή, excessive size/excess, Δημόκριτος 3.7 *ἡ γὰρ εὐογκίη ἀσφαλέστερον τῆς μ ε γ α λ ο γ κ ί η ς.*

μεγαλόδωρος. Μεγαλόδωρος, generous, Δημόκριτος 176 *τύχη μ ε γ α λ ό δ ω ρ ο ς, ἀλλ' ἀβέβαιος, φύσις δὲ αὐτάρκης.*

μεγαλοψυχίη. Μεγαλοψυχία, magnanimity, Δημόκριτος 46 *μ ε γ α λ ο ψ υ χ ί η τὸ φέρειν πραέως πλημμέλειαν.*

Ακαδημία Αθηνών / Academy of Athens

μέγας 1. Μέγας/μεγάλος, great/large, Ξενοφάνης 30.3-5 *οὔτε γὰρ ἐν νέφεσιν ... ἄνευ πόντου μ ε γ ά λ ο ι ο ... ἀλλὰ μ έ γ α ς πόντος γενέτωρ νεφέων ἀνέμων τε καὶ ποταμῶν* Ζήνων 1.9-10 *οὕτως εἰ πολλά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μ ε γ ά λ α· μικρὰ μὲν ὥστε μὴ ἔχειν μέγεθος, μ ε γ ά λ α δὲ ὥστε ἄπειρα εἶναι* Ἐμπεδοκλῆς 30.1 *αὐτὰρ ἐπεὶ μ έ γ α Νεῖκος ἐνὶμμελέεσσιν ἐθρέφθη ἐς τιμάς τ' ἀνόρουσε τελειομένοιο χρόνοιο* 41 *ἀλλ' ὁ μὲν ἁλισθεὶς μ έ γ α ν οὐρανὸν ἀμφιπολεύει* 50 *Ἶρις δ' ἐκ πελάγους ἄνεμον φέρει ἢ μ έ γ α ν ὄμβρον* 112.1 *ὦ φίλοι, οἳ μ έ γ α ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος ναίετ' ἀν' ἄκρα πόλεος* Ἀναξαγόρας 3.3-4 *ἀλλὰ καὶ τοῦ μ ε γ ά λ ο υ ἀεί ἐστι μεῖζον. καὶ ἴσον ἐστὶ τῷ σμικρῷ πλῆθος, πρὸς ἑαυτὸ δὲ ἕκαστόν ἐστι καὶ μ έ γ α καὶ σμικρὸν* 6.1 *καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μ ε γ ά λ ο υ καὶ τοῦ σμικροῦ πλῆθος* Δημόκριτος 11r (τίτλ.) *Μ έ γ α ς ἐνιαυτὸς ἢ Ἀστρονομίη. Παράπηγμα* 191.4 *τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ καὶ μ ε γ ά λ α ς κινήσιας ἐμποιεῖν τῇ ψυχῇ. αἱ δ' ἐκ μ ε γ ά λ ω ν διαστημάτων κινούμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι* Ἀρχύτας 1.22-31-37-40 *οὐ γὰρ παραδύεσθαι ἐς τὰν ἀκοὰν ἁμῖν τὼς μ ε γ ά λ ω ς τῶν ψόφων ... οὐ μόνον δέ κα τούτῳ γνοίημεν, ἀλλὰ καὶ ὄκκα ἄμμες ἢ λέγοντες ἢ ἀείδοντες χρῄζομές τι μ έ γ α φθέγξασθαι καὶ ὀξὺ ... τωὐτὸ δὲ καὶ ταῖς φωναῖς συμβήσεται· τᾷ μὲν ὑπὸ [τῶ] ἰσχυρῷ τῶ πνεύματος φερομένᾳ μ ε γ ά λ ᾳ τε ἦμεν καὶ ὀξέᾳ, τᾷ δὲ ὑπὸ ἀσθενέος μικρᾷ τε καὶ βαρέᾳ. ἀλλὰ μὰν καὶ τούτῳ γά κα ἴδοιμες ἰσχυροτάτῳ σαμείῳ, ὅτι τῶ αὐτῶ φθεγξαμένω μ έ γ α μὲν πόρσωθέν κ' ἀκούσαιμες· μικρὸν δέ, οὐδ' ἐγγύθεν.* || **μέγα δύνασθαι.** Δημόκριτος 95 *τιμαὶ παρὰ τοῖς εὖ φρονέουσι μ έ γ α δ ύ ν α ν τ α ι, οἳ ξυνιᾶσι τιμώμενοι.* || **μέγα.** Πολύ, much, Παρμενίδης 8.57 *τῇ μὲν φλογὸς αἰθέριον πῦρ, ἤπιον ὄν, μ έ γ' [ἀραιὸν] ἐλαφρόν, ἑωυτῷ πάντοσε τωὐτόν, τῷ δ' ἑτέρῳ μὴ τωὐτὸν* Ἐμπεδοκλῆς 137.2 *μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας σφάζει ἐπευχόμενος μ έ γ α νήπιος* **2.** Μέγας/σπουδαῖος, great/important, Ἐμπεδοκλῆς 113.1 *ἀλλὰ τί τοῖσδ' ἐπίκειμ' ὡσεὶ μ έ γ α χρῆμά τι πράσσων, εἰ θνητῶν περίειμι πολυφθερέων ἀνθρώπων;* Φιλόλαος 11.2 *θεωρεῖν δεῖ τὰ ἔργα καὶ τὴν οὐσίαν τῷ ἀριθμῷ καττὰν δύναμιν ἅτις ἐστὶν ἐν τᾷ δεκάδι· μ ε γ ά λ α γὰρ καὶ παντελὴς καὶ παντοεργὸς καὶ*

Ακαδημία Αθηνών / Academy of Athens

θείω καὶ οὐρανίω βίω καὶ ἀνθρωπίνω ἀρχὰ καὶ ἀγεμὼν κοινωνοῦσα Διογένης 4.1 *ἔτι δὲ πρὸς τούτοις καὶ τάδε μ ε γ ά λ α σημεῖα. ἄνθρωποι γὰρ καὶ τὰ ἄλλα ζῷα ἀναπνέοντα ζώει τῷ ἀέρι* 5.16 *ὅμοιον δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζῴων ἐστίν (ἐπεὶ οὐδὲ τῶν ἀνθρώπων ἀλλήλοις), ἀλλὰ διαφέρει μ έ γ α μὲν οὔ, ἀλλ' ὥστε παραπλήσια εἶναι* 6.12-27-32 *σχίζεται δ' αὐτῶν ἄκρα ἑκατέρα, ἡ μὲν ἐπὶ τὸν μ έ γ α ν δάκτυλον, ἡ δ' ἐπὶ τὸν ταρσὸν ... αἱ δ' εἰς τὴν κεφαλὴν τείνουσαι διὰ τῶν σφαγῶν φαίνονται ἐν τῷ αὐχένι μ ε γ ά λ α ι ... ἔστι δ' ἑτέρα φλὲψ ἐν τῷ τραχήλῳ παρὰ τὴν μ ε γ ά λ η ν ἑκατέρωθεν, ἐλάττων ἐκείνης ὀλίγον, εἰς ἣν αἱ πλεῖσται ἐκ τῆς κεφαλῆς συνέχουσιν αὐτῆς* 8 *ἀλλὰ τοῦτό μοι δῆλον δοκεῖ εἶναι, ὅτι καὶ μ έ γ α καὶ ἰσχυρὸν καὶ ἀίδιόν τε καὶ ἀθάνατον καὶ πολλὰ εἰδός ἐστι* Δημόκριτος 42 *μ έ γ α τὸ ἐν ξυμφορῇσι φρονεῖν ἃ δεῖ* 113 *μ ε γ ά λ α βλάπτουσι τοὺς ἀξυνέτους οἱ ἐπαινέοντες* 191.11 *ὅκως ἂν τὰ παρεόντα σοι καὶ ὑπάρχοντα μ ε γ ά λ α καὶ ζηλωτὰ φαίνηται, καὶ μηκέτι πλειόνων ἐπιθυμέοντι συμβαίνῃ κακοπαθεῖν τῇ ψυχῇ* 194 *αἱ μ ε γ ά λ α ι τέρψεις ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται* 250 *ἀπὸ ὁμονοίης τὰ μ ε γ ά λ α ἔργα καὶ ταῖς πόλεσι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ* 276 *ἑνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μ ε γ ά λ ο υ ς κινδύνους, πολλὰς δὲ λύπας.* || Λεύκιππος 1 *ἐν τῷ Μ ε γ ά λ ῳ διακόσμῳ* A 1 (DK II 70,30) A 10 (DK II 74,26) *μ έ γ α κενὸν* A 24 (DK II 78,1) *ἐν μ ε γ ά λ ῳ... κενῷ* Δημόκριτος Oc (τίτλ.) *τὸν Μ έ γ α ν διάκοσμον* 4b (τίτλ.) *Μ έ γ α ς διάκοσμος.*

μέγεθος. Μέγεθος, size, Ζήνων 1.2-5-9 *εἰ δὲ ἔστιν, ἀνάγκη ἕκαστον μ έ γ ε θ ό ς τι ἔχειν καὶ πάχος καὶ ἀπέχειν αὐτοῦ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου... καὶ γὰρ ἐκεῖνο ἕξει μ έ γ ε θ ο ς καὶ προέξει αὐτοῦ τι ... μικρὰ μὲν ὥστε μὴ ἔχειν μ έ γ ε θ ο ς, μεγάλα δὲ ὥστε ἄπειρα εἶναι* 2.2-3 *μ ε γ έ θ ο υ ς γὰρ μηδενὸς ὄντος, προσγενομένου δέ, οὐδὲν οἷόν τε εἰς μ έ γ ε θ ο ς ἐπιδοῦναι* Μέλισσος 3 *ἀλλ' ὥσπερ ἔστιν ἀεί, οὕτω καὶ τὸ μ έ γ ε θ ο ς ἄπειρον ἀεὶ χρὴ εἶναι* Φιλόλαος 6.15 *ἁρμονίας δὲ μ έ γ ε θ ό ς ἐστι συλλαβὰ καὶ δι' ὀξειᾶν* 'Αναξαγόρας 1.6 *ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖς σύμπασι καὶ πλήθει καὶ μ ε γ έ θ ε ι* 'Αρχύτας 1.21 *διὰ τὰν ὑπερβολὰν τοῦ μ ε γ έ θ ε ο ς.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

μέγιστος 1. Μέγιστος/πολὺ μεγάλος, greatest/very large, Ξενοφάνης 23.1 *εἷς θεός, ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος, οὔτι δέμας θνητοῖσιν ὁμοίιος οὐδὲ νόημα* Ἐμπεδοκλῆς 128.9 *ταύρων δ' ἀκρήτοισι φόνοις οὐ δεύετο βωμός, ἀλλὰ μύσος τοῦτ' ἔσκεν ἐν ἀνθρώποισι μέγιστον, θυμὸν ἀπορραίσαντας ἐ⟨ν⟩έδμεναι ἠέα γυῖα* 133.2 *οὐκ ἔστιν πελάσασθαι ἐν ὀφθαλμοῖσιν ἐφικτὸν ἡμετέροις ἢ χερσὶ λαβεῖν, ᾗπέρ τε μεγίστη πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα πίπτει* Δημόκριτος 252.5 *πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι, καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σῳζομένου πάντα σῴζεται καὶ τούτου διαφθειρομένου τὰ πάντα διαφθείρεται* 263 *δίκης καὶ ἀρετῆς μεγίστην μετέχει μοῖραν ὁ [τιμὰς] ἀξίας τὰς μεγίστας τάμνων ⟨τοῖς ἀξιωτάτοις⟩ (?).* || Ἀναξαγόρας 1.6 *πάντα γὰρ ἀήρ τε καὶ αἰθὴρ κατεῖχεν, ἀμφότερα ἄπειρα ἐόντα· ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖς σύμπασι καὶ πλήθει καὶ μεγέθει* Διογένης 6.2-8-19 *αἱ δὲ φλέβες ἐν τῷ ἀνθρώπῳ ὧδ' ἔχουσιν· εἰσὶ δύο μέγισται ... ἀπὸ δὲ τούτων καθ' ἅπαν τὸ σῶμα φλέβες διατείνουσιν, ἀπὸ μὲν τῆς δεξιᾶς εἰς τὰ δεξιά, ἀπὸ δὲ τῆς ἀριστερᾶς εἰς τὰ ἀριστερά, μέγισται μὲν δύο εἰς τὴν καρδίαν περὶ αὐτὴν τὴν νωτιαίαν ἄκανθαν ... αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι (sc. φλέβες) σχίζονται κατὰ τὴν πρόσφυσιν, καὶ διὰ παντὸς τοῦ μηροῦ τείνουσιν. ἡ δὲ μεγίστη αὐτῶν ὄπισθεν τείνει τοῦ μηροῦ καὶ ἐκφαίνεται παχεῖα.* || Ἀναξαγόρας 12.11 *ἔστι γὰρ λεπτότατόν τε πάντων χρημάτων καὶ καθαρώτατον, καὶ γνώμην γε περὶ παντὸς πᾶσαν ἴσχει καὶ ἰσχύει μέγιστον* **2.** Μέγιστος/πολὺ σπουδαῖος, greatest/very important, Δημόκριτος 94 *μικραὶ χάριτες ἐν καιρῷ μέγισται τοῖς λαμβάνουσι* 157 *τήν τε πολιτικὴν τέχνην μεγίστην οὖσαν ἐκδιδάσκεσθαι καὶ τοὺς πόνους διώκειν, ἀφ' ὧν τὰ μεγάλα καὶ λαμπρὰ γίνονται τοῖς ἀνθρώποις* 208 *πατρὸς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.* || Δημόκριτος 154 *μαθητὰς (sc. τῶν ζῴων) ἐν τοῖς μεγίστοις γεγονότας ἡμᾶς· ἀράχνης ἐν ὑφαντικῇ καὶ ἀκεστικῇ, χελιδόνος ἐν οἰκοδομίᾳ, καὶ τῶν λιγυρῶν, κύκνου καὶ ἀηδόνος, ἐν ᾠδῇ κατὰ μίμησιν* 252.2 *τὰ κατὰ τὴν πόλιν χρεὼν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι, ὅκως ἄξεται εὖ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Μεγιστώ. Ἡ Μεγαλόπρεπη (προσωποπ.), Magnificence (personif.), Ἐμπεδοκλῆς 123.2 *πολυστέφανός τε Μ ε γ ι σ τ ὼ καὶ Φορύνη.*

μέδειν. Κατέχω, possess, Ἐμπεδοκλῆς 17.28 *ταῦτα γὰρ ἴσά τε πάντα καὶ ἥλικα γένναν ἔασι, τιμῆς δ' ἄλλης ἄλλο μ έ δ ε ι.*

μέθη. Μέθη, drunkenness, Δημόκριτος 159.5 *τὰ μὲν ἀπώλεσε τοῦ σώματος ταῖς ἀμελείαις καὶ ἐξέλυσε ταῖς μ έ θ α ι ς.* Πρβλ. *μεθύσκεσθαι.*

μεθύσκεσθαι. Μεθάω, get drunk, Ἡράκλειτος 117 *ἀνὴρ ὁκόταν μ ε θ υ σ θ ῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος, οὐκ ἐπαΐων ὅκη βαίνει, ὑγρὴν τὴν ψυχὴν ἔχων.*

mind/intelligence, Ἡράκλειτος 40 *πολυμαθίη νόον ἔχειν οὐ διδάσκει* 104 *τίς γὰρ αὐτῶν νόος ἢ φρήν;* 114 *ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως* Δημόκριτος 35 *γνωμέων μευ τῶνδε εἴ τις ἐπαΐοι ξὺν νόῳ, πολλὰ μὲν ἔρξει πράγματ' ἀνδρὸς ἀγαθοῦ ἄξια, πολλὰ δὲ φλαῦρα οὐχ ἔρξει* 52 *τὸν οἰόμενον νοῦν ἔχειν ὁ νουθετέων ματαιοπονεῖ* 64 *πολλοὶ πολυμαθέες νοῦν οὐκ ἔχουσιν* 105 *σώματος κάλλος ζῳῶδες, ἢν μὴ νοῦς ὑπῇ* 282 *χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνὴ* **4.** Νοῦς (ὡς κοσμικὴ ἀρχή), mind (as a cosmic principle), Ἀναξαγόρας 11 *ἐν παντὶ παντὸς μοῖρα ἔνεστι πλὴν νοῦ, ἔστιν οἷσι δὲ καὶ νοῦς ἔνι* 12.1-12-13-17-19-27 *τὰ μὲν ἄλλα παντὸς μοῖραν μετέχει, νοῦς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμεικται οὐδενὶ χρήματι ... καὶ ὅσα γε ψυχὴν ἔχει καὶ τὰ μείζω καὶ τὰ ἐλάσσω, πάντων νοῦς κρατεῖ. καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νοῦς ἐκράτησεν ... καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα διακρινόμενα πάντα ἔγνω νοῦς. καὶ ὁποῖα ἔμελλεν ἔσεσθαι καὶ ὁποῖα ἦν, ἅσσα νῦν μὴ ἔστι, καὶ ὅσα νῦν ἐστι καὶ ὁποῖα ἔσται, πάντα διεκόσμησε νοῦς ... παντάπασι δὲ οὐδὲν ἀποκρίνεται οὐδὲ διακρίνεται ἕτερον ἀπὸ τοῦ ἑτέρου πλὴν νοῦ. νοῦς δὲ πᾶς ὅμοιός ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐλάττων* 13 *καὶ ἐπεὶ ἤρξατο ὁ νοῦς κινεῖν, ἀπὸ τοῦ κινουμένου παντὸς ἀπεκρίνετο, καὶ ὅσον ἐκίνησεν ὁ νοῦς, πᾶν τοῦτο διεκρίθη* 14 *ὁ δὲ νοῦς, ὃς ἀεί ἐστι, τὸ κάρτα καὶ νῦν ἐστιν ἵνα καὶ τὰ ἄλλα πάντα, ἐν τῷ πολλῷ περιέχοντι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις* Δημόκριτος 5 *τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ νοῦ.*

νυκτιφαής. Νυκτόφεγγος, shining by night, Παρμενίδης 14 *νυκτιφαὲς περὶ γαῖαν ἀλώμενον ἀλλότριον φῶς.*

νῦν. Τώρα, now, Ξενοφάνης 1.1 *νῦν γὰρ δὴ ζάπεδον καθαρὸν* 7.1 *νῦν αὖτ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον* Παρμενίδης 19.1 *οὕτω τοι κατὰ δόξαν ἔφυ τάδε καί νυν ἔασι* Ἐμπεδοκλῆς 62.1 *νῦν δ' ἄγ'* 131.3 *εὐχομένῳ νῦν αὖτε παρίστασο, Καλλιόπεια* Ἀναξαγόρας 6.6 *καὶ νῦν πάντα ὁμοῦ* 12.17-18 *ἅσσα νῦν μὴ ἔστι, καὶ ὅσα νῦν ἐστι καὶ ὁποῖα ἔσται* 14.1 *τὸ κάρτα καὶ νῦν ἐστιν* Διογένης 2.4 *εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ*

Ακαδημία Αθηνών / Academy of Athens

ἐόντα ν ῦ ν, γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ Δημόκριτος 175.2-4 *οἱ δὲ θεοὶ τοῖσι ἀνθρώποισι διδοῦσι τἀγαθὰ πάντα καὶ πάλαι καὶ ν ῦ ν ... οὔ⟨τε⟩ πάλαι οὔτε ν ῦ ν θεοὶ ἀνθρώποισι δωροῦνται.* || Δημόκριτος 10 *ἐτεῇ μέν ν υ ν ὅτι οἷον ἕκαστον ἔστιν ⟨ἢ⟩ οὐκ ἔστιν οὐ συνίεμεν, πολλαχῇ δεδήλωται.*

νὺξ 1 (συνών. *σκότος*, ἀντίθ. *φῶς*). Σκότος/σκοτάδι, darkness, Παρμενίδης 8.59 *ἀτὰρ κἀκεῖνο κατ' αὐτὸ τἀντία ν ύ κ τ' ἀδαῆ, πυκινὸν δέμας ἐμβριθές τε* 9.1-3 *αὐτὰρ ἐπειδὴ πάντα φάος καὶ ν ὺ ξ ὀνόμασται καὶ τὰ κατὰ σφετέρας δυνάμεις ἐπὶ τοῖσί τε καὶ τοῖς, πᾶν πλέον ἐστὶν ὁμοῦ φάεος καὶ ν υ κ τ ὸ ς ἀφάντου ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδὲν* 12.2 *αἱ γὰρ στεινότεραι πλῆντο πυρὸς ἀκρήτοιο, αἱ δ' ἐπὶ ταῖς ν υ κ τ ό ς, μετὰ δὲ φλογὸς ἵεται αἶσα* **2** (συνών. *εὐφρόνη*, ἀντίθ. *ἡμέρα, ἦμαρ*). Νύχτα, night, Ἐμπεδοκλῆς 48 *ν ύ κ τ α δὲ γαῖα τίθησιν ὑφισταμένη φαέεσσι* 49 *ν υ κ τ ὸ ς ἐρημαίης ἀλαώπιδος* 84.2 *ὡς δ' ὅτε τις πρόοδον νοέων ὡπλίσσατο λύχνον χειμερίην διὰ ν ύ κ τ α* Διογένης 3.3 *οὐ γὰρ ἂν ... οἷόν τε ἦν οὕτω δεδάσθαι ἄνευ νοήσιος, ὥστε πάντων μέτρα ἔχειν, χειμῶνός τε καὶ θέρους καὶ ν υ κ τ ὸ ς καὶ ἡμέρας καὶ ὑετῶν καὶ ἀνέμων καὶ εὐδιῶν* Δημόκριτος 209 *αὐταρκείῃ τροφῆς σμικρὴ ν ὺ ξ [?] οὐδέποτε γίνεται.* || Παρμενίδης 1.11 *ἔνθα πύλαι Ν υ κ τ ό ς τε καὶ Ἤματός εἰσι κελεύθων.* Πρβλ. *ζοφερόν, λαμπρός.*

νωθρῶς. Νωθρῶς/βραδέως, sluggishly/slowly, Ἀρχύτας 1.27 *αἰ γάρ τις ῥάβδον λαβὼν κινοῖ ν ω θ ρ ῶ ς τε καὶ ἀσθενέως.*

νῶμα. Βλ. **νόημα.**

νωμᾶν. Διακινῶ/περιφέρω, move/carry round, Παρμενίδης 7.4 *ν ω μ ᾶ ν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουήν.*

νώνυμος. Ἀνώνυμος/δίχως ὄνομα, anonymous, Δημόκριτος 26 *πολύσημον ... ἰσόρροπον ⟨... μετώνυμον⟩ ... ν ώ ν υ μ ο ν.*

νῶσαι. Βλ. **νοεῖν.**

νωτιαῖος. Νωτιαῖος, vertebral, Διογένης 6.2-8-41 *παρὰ τὴν ν ω τ ι α ί α ν ἄκανθαν ... περὶ αὐτὴν τὴν ν ω τ ι α ί α ν ἄκανθαν ... διὰ τοῦ ν ω τ ι α ί ο υ μυελοῦ.* Πρβλ. *νῶτος-ον, μυελός.*

Ακαδημία Αθηνών / Academy of Athens

νῶτος - νῶτον. Τὰ νῶτα/ἡ ῥάχη, back/dorsum, Ἐμπεδοκλῆς 29.1 *οὐ γὰρ ἀπὸ ν ώ τ ο ι ο δύο κλάδοι ἀΐσσονται, οὐ πόδες, οὐ θοὰ γοῦν(α)* 83.2 *αὐτὰρ ἐχίνοις ὀξυβελεῖς χαῖται ν ώ τ ο ι ς ἐπιπεφρίκασι* 134.2 *οὐδὲ γὰρ ἀνδρομέῃ κεφαλῇ κατὰ γυῖα κέκασται, οὐ μὲν ἀπαὶ ν ώ τ ο ι ο δύο κλάδοι ἀΐσσονται, οὐ πόδες, οὐ θοὰ γοῦν(α).* Πρβλ. *νωτιαῖος.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Ξ

ξανθός. Ξανθός, golden/yellowish, Ξενοφάνης 1.9 *πάρκεινται δ' ἄρτοι ξ α ν θ ο ὶ γεραρή τε τράπεζα τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη* Ἐμπεδοκλῆς 112.1 *ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξ α ν θ ο ῦ Ἀκράγαντος ναίετ'* 128.7 *ξ α ν θ ῶ ν τε σπονδὰς μελίτων ῥίπτοντες ἐς οὖδας.*

ξενιτείη. Ξενιτειά, foreign land, Δημόκριτος 246 *ξ ε ν ι τ ε ί η βίου αὐτάρκειαν διδάσκει· μᾶζα γὰρ καὶ στιβὰς λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.*

ξένος 1. Παράξενος/παράδοξος, odd/strange, Ἡράκλειτος 72 *οἷς καθ' ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξ έ ν α φαίνεται* **2**. Ξένος/ἀλλοδαπός, stranger/foreigner, Ἐμπεδοκλῆς 112.3 *ε ἰ ν ω ν αἰδοῖοι λιμένες, κακότητος ἄπειροι.*

ξηρός (συνών. *αὖος*, ἀντίθ. *ὑγρός*). Ξηρός, dry, Διογένης 5.9 *ἔστι γὰρ πολύτροπος (*sc. *ὁ ἀήρ), καὶ θερμότερος καὶ ψυχρότερος καὶ ξ η ρ ό τ ε ρ ο ς καὶ ὑγρότερος.* || **ξηρόν** (συνών. *καρφαλέον*, ἀντίθ. *διερόν*). Τὸ ξηρόν, the dry, Ἀναξαγόρας 4.15 *ἀπεκώλυε γὰρ ἡ σύμμιξις πάντων χρημάτων, τοῦ τε διεροῦ καὶ τοῦ ξ η ρ ο ῦ καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ τοῦ λαμπροῦ καὶ τοῦ ζοφεροῦ* 12.25 *ἀποκρίνεται ἀπό τε τοῦ ἀραιοῦ τὸ πυκνόν ... ἀπὸ τοῦ διεροῦ τὸ ξ η ρ ὸ ν* 15.3 *τὸ δὲ ἀραιὸν καὶ τὸ θερμὸν καὶ τὸ ξ η ρ ὸ ν ἐξεχώρησεν εἰς τὸ πρόσω τοῦ αἰθέρος.*

ξυγκύρειν. Βλ. **συγκύρειν.**

ξύεσθαι. Ξύνομαι, scratch oneself, Δημόκριτος 127 *ξ υ ό μ ε ν ο ι ἄνθρωποι ἥδονται.*

ξύλον. Ξύλο, wood, Ἐμπεδοκλῆς 81 *σαπὲν ἐν ξ ύ λ ῳ ὕδωρ.*

ξυμφύεσθαι. Βλ. **συμφύεσθαι.**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ξύνεσις. Βλ. **σύνεσις.**

ξυνετός (συνών. *εὖ/ὀρθὰ φρονέων*, ἀντίθ. *ἀξύνετος*). Συνετὸς/φρόνιμος, prudent/wise, Δημόκριτος 98 *ἑνὸς φιλίη ξ υ ν ε τ ο ῦ κρέσσων ἀξυνέτων πάντων.*

ξυνῇ (ἀντίθ. *ἰδίᾳ*). Ἀπὸ κοινοῦ, in common, Δημόκριτος 3.2 *τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ πρήσσειν, μήτε ἰδίῃ μήτε ξ υ ν ῇ, μηδὲ ἅσσ' ἂν πράσσῃ, ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν.*

ξυνὸς (τύπ. *κοινός*, ἀντίθ. *ἴδιος*) **1.** Κοινός, common, Ἡράκλειτος 2 *διὸ δεῖ ἕπεσθαι τῷ ⟨ξ υ ν ῷ⟩... τοῦ λόγου δ' ἐόντος ξ υ ν ο ῦ ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν* 80 *εἰδέναι δὲ χρὴ τὸν πόλεμον ἐόντα ξ υ ν ό ν, καὶ δίκην ἔριν* 103 *ξ υ ν ὸ ν γὰρ ἀρχὴ καὶ πέρας ἐπὶ κύκλου περιφερείας* 114 *ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξ υ ν ῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως* Παρμενίδης 11.2 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη αἰθήρ τε ξ υ ν ὸ ς γάλα τ' οὐράνιον καὶ ὄλυμπος ἔσχατος ἠδ' ἄστρων θερμὸν μένος ὥρμήθησαν γίγνεσθαι* Δημόκριτος 252.2 *παρὰ τὸ χρηστὸν τὸ τοῦ ξ υ ν ο ῦ* 279.6 *ἐν γὰρ τῷ ξ υ ν ῷ τὰ τελεύμενα οὐκ ἀνιᾷ ὥσπερ ἰδίῃ οὐδ' εὐθυμεῖ τὰ ἐπικτώμενα, ἀλλὰ πολλῷ ἧσσον* 282 *χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξ υ ν ὴ (?)* 287 *ἀπορίη ξ υ ν ὴ τῆς ἑκάστου χαλεπωτέρη· οὐ γὰρ ὑπολείπεται ἐλπὶς ἐπικουρίης* 293 *οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κ ο ι ν ὰ πᾶσιν, ἀπορέουσι δὲ οἰκηίης χαρᾶς* **2.** Συνηθισμένος, usual, Δημόκριτος 151 *ἐν γὰρ ξ υ ν ῷ ἰχθύι ἄκανθαι οὐκ ἔνεισιν.* || **ξυνόν (ἐστί).** (Εἶναι) ἀδιάφορο, (it is) indifferent, Παρμενίδης 5.1 *ξ υ ν ὸ ν δέ μοί ἐστιν, ὁππόθεν ἄρξωμαι· τόθι γὰρ πάλιν ἵξομαι αὖθις.*

ξυνουσίη. Συνουσία/ἐρωτικὴ συνεύρεση, coition, Δημόκριτος 32 *ξ υ ν ο υ σ ί η ἀποπληξίη σμικρή.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

O

ὄαροι. Λόγοι/τὰ λεγόμενα, words/discourse, Ἐμπεδοκλῆς 21.1 *ἀλλ' ἄγε, τόνδ' ὀ ά ρ ω ν προτέρων ἐπιμάρτυρα δέρκευ.*

ὄγκος. Ὄγκος/μάζα, volume/mass, Παρμενίδης 8.43 *εὐκύκλου σφαίρης ἐναλίγκιον ὄ γ κ ῳ, μεσσόθεν ἰσοπαλὲς πάντῃ* Ἐμπεδοκλῆς 20.1 *τοῦτο μὲν ἀν βροτέων μελέων ἀριδείκετον ὄ γ κ ο ν* 100.13 *οὐδεὶς ἄγγοσδ' ὄμβρος ἐσέρχεται, ἀλλά μιν εἴργει ἀέρος ὄ γ κ ο ς ἔσωθε πεσὼν ἐπὶ τρήματα πυκνά.*

ὁδὸς 1. Ὁδὸς/πορεία, road/route, Ἡράκλειτος 45 *ψυχῆς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροιο, πᾶσαν ἐπιπορευόμενος ὁ δ ό ν· οὕτω βαθὺν λόγον ἔχει* 59 *γναφείῳ ὁ δ ὸ ς εὐθεῖα καὶ σκολιὴ ... μία ἐστὶ ... καὶ ἡ αὐτὴ* 60 *ὁ δ ὸ ς ἄνω κάτω μία καὶ ὠυτὴ* Παρμενίδης 1.2-5-27 *ἵπποι ταί με φέρουσιν, ὅσον τ' ἐπὶ θυμὸς ἱκάνοι, πέμπον, ἐπεί μ' ἐς ὁ δ ὸ ν βῆσαν πολύφημον ἄγουσαι δαίμονες ... τῇ φερόμην· τῇ γάρ με πολύφραστοι φέρον ἵπποι ἅρμα τιταίνουσαι, κοῦραι δ' ὁ δ ὸ ν ἡγεμόνευον ... ὦ κοῦρ' ἀθανάτοισι συνάορος ἡνιόχοισιν, ἵπποις ταί σε φέρουσιν ἱκάνων ἡμέτερον δῶ, χαῖρ', ἐπεὶ οὔτι σε μοῖρα κακὴ προὔπεμπε νέεσθαι τήνδ' ὁ δ ό ν (ἦ γὰρ ἀπ' ἀνθρώπων ἐκτὸς πάτου ἐστίν), ἀλλὰ θέμις τε δίκη τε.* || Δημόκριτος 230 *βίος ἀνεόρταστος μακρὴ ὁ δ ὸ ς ἀπανδόκευτος* **2.** Ὁδὸς/μέθοδος, way/method, Παρμενίδης 2.2 *εἰ δ' ἄγ' ἐγὼν ἐρέω, κόμισαι δὲ σὺ μῦθον ἀκούσας, αἵπερ ὁ δ ο ὶ μοῦναι διζήσιός εἰσι νοῆσαι* 6.3 *τά σ' ἐγὼ φράζεσθαι ἄνωγα. πρώτης γάρ σ' ἀφ' ὁ δ ο ῦ ταύτης διζήσιος ⟨εἴργω⟩* 7.2-3 *ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁ δ ο ῦ διζήσιος εἶργε νόημα μηδέ σ' ἔθος πολύπειρον ὁ δ ὸ ν κατὰ τήνδε βιάσθω, νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουὴν* 8.1-18 *μόνος δ' ἔτι μῦθος ὁ δ ο ῖ ο λείπεται ὡς ἔστιν ... τὴν μὲν ἐᾶν ἀνόητον ἀνώνυμον (οὐ γὰρ ἀληθὴς ἔστιν ὁ δ ό ς), τὴν δ' ὥστε πέλειν καὶ ἐτήτυμον εἶναι.* Πρβλ. *κέλευθος, ἀτραπός.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ὀδυνᾶσθαι. Πονῶ, feel pain, Δημόκριτος 159 *εἰ τοῦ σώματος αὐτῇ δίκην λαχόντος, παρὰ πάντα τὸν βίον ὧν ὠ δ ύ ν η τ α ι ⟨καὶ⟩ κακῶς πέπονθεν.*

ὀδύνη. Ὀδύνη/πόνος, grief/pain, Ἐμπεδοκλῆς 112.12 *δηρὸν δὴ χαλεπῇσι πεπαρμένοι ⟨ἀμφ' ὀ δ ύ ν η σ ι ν⟩* Δημόκριτος 275 *τεκνοτροφίη σφαλερόν· τὴν μὲν γὰρ ἐπιτυχίην ἀγῶνος μεστὴν καὶ φροντίδος κέκτηται, τὴν δὲ ἀποτυχίην ἀνυπέρθετον ἑτέρῃ ὀ δ ύ ν ῃ.* Πρβλ. *ἀλγεῖν, ἀλγύνειν.*

ὄζειν (τύπ. *ὄσδειν*). Ἀποπνέω ὀσμὴ/μυρίζω, have an odour/smell, Ξενοφάνης 1.6 *ἄλλος δ' οἶνος ἕτοιμος... μείλιχος ἐν κεράμοισ' ἄνθεος ὀ ζ ό μ ε ν ο ς.* Πρβλ. *ὀσμή.*

ὀθνεῖος. Ξένος/μὴ οἰκεῖος, alien/not familiar, Δημόκριτος 60 *κρέσσον τὰ οἰκήϊα ἐλέγχειν ἁμαρτήματα ἢ τὰ ὀ θ ν ε ῖ α* 80 *αἰσχρὸν τὰ ὀ θ ν ε ῖ α πολυπραγμονέοντα ἀγνοεῖν τὰ οἰκήϊα* 90 *ἡ τῶν συγγενῶν ἔχθρη τῆς τῶν ὀ θ ν ε ί ω ν χαλεπωτέρη μάλα.*

οἰακίζειν. Κατευθύνω τὸ πηδάλιο/κυβερνῶ, steer/govern, Ἡράκλειτος 64 *τὰ δὲ πάντα ο ἰ α κ ί ζ ε ι Κεραυνός.* Πρβλ. *κατιθύνειν.*

οἶδμα. Φουσκωμένο κύμα, swelling wave, Ἐμπεδοκλῆς 100.7-24 *αἰθὴρ παφλάζων καταΐσσεται ο ἴ δ μ α τ ι μάργῳ ... αἰθέρος εὐθὺς ῥεῦμα κατέρχεται ο ἴ δ μ α τ ι θῦον.*

οἴεσθαι (τύπ. *οἴειν*, συνών. *δοκεῖν, ἡγεῖσθαι, νομίζειν*) **1.** Νομίζω/πιστεύω, believe, Ἐμπεδοκλῆς 16.1 *οὐδέ ποτ', ο ἴ ω, τούτων ἀμφοτέρων κενεώσεται ἄσπετος αἰὼν* **2.** Φαντάζομαι/ἔχω τὴν ἐντύπωση, imagine/have the impression, Δημόκριτος 52 *τὸν ο ἰ ό μ ε ν ο ν νοῦν ἔχειν ὁ νουθετέων ματαιοπονεῖ.*

οἰκεῖν. Κατοικῶ, inhabit, Δημόκριτος 171 *εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν ο ἰ κ ε ῖ οὐδὲ ἐν χρυσῷ· ψυχὴ οἰκητήριον δαίμονος.*

οἰκεῖος 1. Οἰκεῖος/προσιδιάζων, appropriate/suitable, Φιλόλαος 11.22-25 *ψεῦδος δὲ οὐδὲν δέχεται ἁ τῶ ἀριθμῶ φύσις οὐδὲ ἁρμονία· οὐ γὰρ ο ἰ κ ε ῖ ο ν αὐτοῖς ἐστι ... πολέμιον γὰρ καὶ ἐχθρὸν τᾷ φύσει τὸ ψεῦδος, ἁ δ' ἀλήθεια ο ἰ κ ε ῖ ο ν καὶ σύμφυτον*

Ακαδημία Αθηνών / Academy of Athens

τᾷ τῶ ἀριθμῶ γενεᾷ Δημόκριτος 226 *οἰκήιον ἐλευθερίης παρρησίη, κίνδυνος δὲ ἡ τοῦ καιροῦ διάγνωσις* 267 *φύσει τὸ ἄρχειν οἰκήιον τῷ κρέσσονι* **2.** Οἰκεῖος/ἰδικός, one's own, Δημόκριτος 60 *κρέσσον τὰ οἰκήϊα ἐλέγχειν ἁμαρτήματα ἢ τὰ ὀθνεῖα* 293 *ἀπορέουσι δὲ οἰκηίης χαρᾶς.* || **τὰ οἰκήϊα.** Δημόκριτος 80 *αἰσχρὸν τὰ ὀθνεῖα πολυπραγμονέοντα ἀγνοεῖν τὰ οἰκήϊα.*

οἰκέτης. Οἰκόσιτος δοῦλος, domestic slave, Δημόκριτος 270 *οἰκέταισιν ὡς μέρεσι τοῦ σκήνεος χρῶ ἄλλῳ πρὸς ἄλλο.* Πρβλ. *δοῦλος.*

οἰκήιος. Βλ. **οἰκεῖος.**

οἴκησις. Κατοικία, dwelling, Ἀναξαγόρας 4.10 *καὶ τὴν γῆν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα, ὧν ἐκεῖνοι τὰ ὀνήιστα συνενεγκάμενοι εἰς τὴν οἴκησιν χρῶνται.* Πρβλ. *οἶκος, οἰκητήριον.*

οἰκητήριον. Ἐνδιαίτημα, home, Δημόκριτος 171 *εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν οἰκεῖ οὐδὲ ἐν χρυσῷ· ψυχὴ οἰκητήριον δαίμονος.* Πρβλ. *οἶκος, οἴκησις.*

οἰκοδομία. Οἰκοδομικὴ/τέχνη τοῦ οἰκοδομεῖν, art of building, Δημόκριτος 154 *μαθητὰς (sc. τῶν ζώων) ἐν τοῖς μεγίστοις γεγονότας ἡμᾶς· ἀράχνης ἐν ὑφαντικῇ καὶ ἀκεστικῇ, χελιδόνος ἐν οἰκοδομίᾳ, καὶ τῶν λιγυρῶν, κύκνου καὶ ἀηδόνος, ἐν ᾠδῇ κατὰ μίμησιν.*

οἶκος. Οἶκος/σπιτικό, home/household, Δημόκριτος 288 *νόσος οἴκου καὶ βίου γίνεται ὅκωσπερ καὶ σκήνεος.*

οἰκτίρειν (ἀντίθ. *φθονέειν*). Αἰσθάνομαι οἶκτο/λυποῦμαι, feel pity/be sorry for, Δημόκριτος 255 *ὅταν οἱ δυνάμενοι τοῖς μὴ ἔχουσι καὶ προτελεῖν τολμέωσι καὶ ὑπουργεῖν καὶ χαρίζεσθαι, ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτίρειν ἔνεστι καὶ μὴ ἐρήμους εἶναι καὶ τὸ ἑταίρους γίγνεσθαι.*

οἰστός. Βέλος, arrow, Ζήνων A 27 (DK I 253,38) *ἡ οἰστὸς φερομένη ἕστηκεν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

οἶνος. Οἶνος/κρασί, wine, Ξενοφάνης 1.5 *ἄλλος δ' οἶνος ἕτοιμος* 22.3 *πίνοντα γλυκὺν οἶνον* Ἐμπεδοκλῆς 81 *οἶνος ἀπὸ φλοιοῦ πέλεται* 91 *οἴνῳ ... μᾶλλον ἐνάρθμιον, αὐτὰρ ἐλαίῳ οὐκ ἐθέλει.*

οἷος. Μόνος / μονάχος, alone, Ἐμπεδοκλῆς 57.3 *ὄμματα τ' οἰ(α) ἐπλανᾶτο πενητεύοντα μετώπων.*

οἷος. Ὅποιος/ὁποιας λογῆς, such as/ of whatever kind, Ξενοφάνης 15.5 *καὶ σώματ' ἐποίουν τοιαῦθ' οἷόν περ καὐτοὶ δέμας εἶχον* ⟨*ἕκαστοι*⟩ Μέλισσος 8(2)-(5) -(6) *οἷόν περ ἐγώ φημι τὸ ἓν εἶναι ... οἷόν περ τὸ πρῶτον ἔδοξεν ἡμῖν ... ἀεὶ εἶναι ἕκαστον, οἷόν πέρ ἐστιν ... ἀλλ' ἦν οἷόν περ ἐδόκει ἕκαστον τοιοῦτον ... οἷόν περ τὸ ἓν* Ἐμπεδοκλῆς 62.8 *οὔτ' ἐνοπὴν οἷόν τ' ἐπιχώριον ἀνδράσι γυῖον* 110.6 *εἰ δὲ σύ γ' ἀλλοίων ἐπορέξεαι, οἷα κατ' ἄνδρας μυρία δειλὰ πέλονται* Φιλόλαος 6.13 *οἷα μέλλοντι ἐν κόσμῳ κατέχεσθαι* Δημόκριτος 8 *καίτοι δῆλον ἔσται, ὅτι ἑτεῇ οἷον ἕκαστον γιγνώσκειν ἐν ἀπόρῳ ἐστὶ* 10 *ἑτεῇ μέν νυν ὅτι οἷον ἕκαστον ἔστιν* ⟨*ἢ*⟩ *οὐκ ἔστιν οὐ συνίεμεν* Ἀρχύτας 1.2-18 *οἷά ἐντι, περὶ ἑκάστων φρονέειν ... πολλοὺς μὲν δὴ αὐτῶν οὐκ εἶναι ἁμῶν τᾷ φύσει οἷον τε γινώσκεσθαι* 2.8 *οἷος ὁ πρᾶτος ποτὶ τὸν δεύτερον.* || Ἐμπεδοκλῆς 119 *ἐξ οἵης τιμῆς τε καὶ ὅσσου μήκεος ὄλβου.* || **οἷός τε** (εἶναι). Δύναμαι, be able, Ζήνων 2.3 *οὐδὲν οἷόν τε εἰς μέγεθος ἐπιδοῦναι* Φιλόλαος 4 *οὐ γὰρ οἷόν τε οὐδὲν οὔτε νοηθῆμεν οὔτε γνωσθῆμεν ἄνευ τούτου* 6.4 *οὐχ οἷόν τ' ἦν οὐθὲν τῶν ἐόντων καὶ γιγνωσκόμενον ὑφ' ἁμῶν γα γενέσθαι μὴ ὑπαρχούσας τᾶς ἑστοῦς τῶν πραγμάτων* Διογένης 3 *οὐ γὰρ ἂν ... οἷόν τε ἦν οὕτω δεδάσθαι ἄνευ νοήσιος* 5.17 *οὐ μέντοι ἀτρεκέως γε ὅμοιον οὐδὲν οἷόν τε γενέσθαι τῶν ἑτεροιουμένων ἕτερον τῷ ἑτέρῳ.* || **οἷόν τε** (ἐστί), Εἶναι δυνατόν, it is possible, Δημόκριτος 173.5 *τοῖς τε ἀγαθοῖσιν οἷόν τε χρῆσθαι καὶ πρὸς τὰ κακά.*

οἶτος (συνών. *μοῖρα*). Μοίρα, fate, Δημόκριτος 227 *οἱ φειδωλοὶ τὸν τῆς μελίσσης οἶτον ἔχουσιν ἐργαζόμενοι ὡς ἀεὶ βιωσόμενοι.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ὄλβιος (ἀντίθ. *δειλός*). Εὐτυχὴς/μακάριος, happy/blissful, Ἐμπεδοκλῆς 132.1 *ὄ λ β ι ο ς, ὃς θείων πραπίδων ἐκτήσατο πλοῦτον, δειλὸς δ', ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.* Πρβλ. *δυσάνολβος, δυσδαίμων, δυστυχής.*

ὄλβος (ἀντίθ. *δυστυχία, πενίη*). Εὐτυχία/εὐμάρεια, felicity/wealth of being, Ἐμπεδοκλῆς 119 *ἐξ οἵης τιμῆς τε καὶ ὅσσου μήκεος ὄ λ β ο υ.* Πρβλ. *εὐδαιμονίη, εὐτυχίη, πλοῦτος.*

ὀλέθριος (ἀντίθ. *σωτήριος*). Ὀλέθριος/καταστροφικός, deadly/destructive, Ἡράκλειτος 61 *θάλασσα ὕδωρ καθαρώτατον καὶ μιαρώτατον, ἰχθύσι μὲν πότιμον καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀ λ έ θ ρ ι ο ν.* Πρβλ. *ὄλεθρος.*

ὄλεθρος (συνών. *φθορά*, ἀντίθ. *γένεσις*). Ὄλεθρος/καταστροφή, perishing/destruction, Παρμενίδης 8.21-27 *τὼς γένεσις μὲν ἀπέσβεσται καὶ ἄπυστος ὄ λ ε θ ρ ο ς ... γένεσις καὶ ὄ λ ε θ ρ ο ς τῆλε μάλ' ἐπλάχθησαν.*

ὀλέκειν (ἀντίθ. *τίκτειν*). Καταστρέφω, destroy, Ἐμπεδοκλῆς 17.4 *τὴν μὲν γὰρ πάντων σύνοδος τίκτει τ' ὀ λ έ κ ε ι τε, ἣ δὲ πάλιν διαφυομένων θρεφθεῖσα διέπτη.* Πρβλ. *ὄλεθρος.*

ὀλιγομυθίη. Ὀλιγολογία, fewness of words, Δημόκριτος 274 *κόσμος ὀ λ ι γ ο μ υ θ ί η γυναικί· καλὸν δὲ καὶ κόσμου λιτότης.*

ὀλίγος (ἀντίθ. *πολύς*). Ὀλίγος/ὀλιγόποσος, little/small in amount, Ἡράκλειτος 22 *χρυσὸν γὰρ οἱ διζήμενοι γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀ λ ί γ ο ν* Ἐμπεδοκλῆς 39.3 *εἴπερ ἀπείρονα γῆς τε βάθη καὶ δαψιλὸς αἰθήρ, ὡς διὰ πολλῶν δὴ γλώσσας ἐλθόντα ματαίως ἐκκέχυται στομάτων ὀ λ ί γ ο ν τοῦ παντὸς ἰδόντων* Δημόκριτος 191.8 *τῶν μὲν ζηλουμένων καὶ θαυμαζομένων ὀ λ ί γ η ν μνήμην ἔχοντα καὶ τῇ διανοίᾳ μὴ προσεδρεύοντα* 284 *ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀ λ ί γ α τοι πολλὰ δόξει.* || **ὀλίγοι**. Ὀλίγοι/ὀλιγάριθμοι, few/few in number, Ἡράκλειτος 104 *οἱ πολλοὶ κακοί, ὀ λ ί γ ο ι δὲ ἀγαθοὶ* Δημόκριτος 30 *τῶν λογίων ἀνθρώπων ὀ λ ί γ ο ι ἀνατείναντες τὰς χεῖρας ἐνταῦθα, ὃν νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες* 191.23 *ταύτης γὰρ ἐχόμενος τῆς γνώμης εὐθυμότερόν τε διάξεις καὶ οὐκ ὀ λ ί γ α ς κῆρας ἐν τῷ βίῳ διώσεαι,*

Ακαδημία Αθηνών / Academy of Athens

φθόνον καὶ ζῆλον καὶ δυσμενίην 276 *ὀ λ ί γ α δὲ τὰ εὐθηλέοντα.* || **ὀλίγον.** Ὀλίγο, a little, Ἐμπεδοκλῆς 98.4 *εἴτ' ὀ λ ί γ ο ν μείζων εἴτε πλεόνεσσιν (?) ἐλάσσων* Διογένης 6.9-32-37 *ἕτεραι δ' ὀ λ ί γ ο ν ἀνωτέρω διὰ τῶν στηθῶν ὑπὸ τὴν μασχάλην ... ἔστι δ' ἑτέρα φλὲψ ἐν τῷ τραχήλῳ παρὰ τὴν μεγάλην ἑκατέρωθεν, ἐλάττων ἐκείνης ὀ λ ί γ ο ν ... καὶ φαίνονται παρά τε τὴν σπληνῖτιν καὶ τὴν ἡπατῖτιν ἕτεραι ὀ λ ί γ ο ν ἐλάττους.* || **δι' ὀλίγου.** Σύντομα, briefly, Δημόκριτος 235.4 *τοῖσι πᾶσιν αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δ ι' ὀ λ ί γ ο υ γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ πίνωσιν, αἱ δὲ λῦπαι πολλαί.* Πρβλ. *ὀλιγοχρόνιος.*

ὀλιγοχρόνιος. Ὀλιγοχρόνιος, of short duration/brief, Δημόκριτος 285.2 *γινώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀ λ ι γ ο χ ρ ό ν ι ο ν.*

ὁλκάς. Φορτηγὸ πλοῖο, transport ship, Φιλόλαος 12 *καὶ τὰ μὲν τᾶς σφαίρας σώματα πέντε ἐντί, τὰ ἐν τᾷ σφαίρᾳ πῦρ ⟨καὶ⟩ ὕδωρ καὶ γᾶ καὶ ἀήρ, καὶ ὃ τᾶς σφαίρας ὁ λ κ ά ς (?), πέμπτον.*

ὁλκός. Βλ. **ὁλκάς.**

ὄλλυσθαι (συνών. *ἀποθνήσκειν, ἀπόλλυσθαι, ἐξόλλυσθαι, ἐξαπόλλυσθαι, φθείρεσθαι, τελευτᾶν,* ἀντίθ. *γίγνεσθαι*) **1.** Καταστρέφομαι/ἀφανίζομαι, be destroyed/be ravaged, Παρμενίδης 8.14-40 *τοῦ εἵνεκεν οὔτε γενέσθαι οὔτ' ὄ λ λ υ σ θ α ι ἀνῆκε Δίκη χαλάσασα πέδῃσιν, ἀλλ' ἔχει ... γίγνεσθαί τε καὶ ὄ λ λ υ σ θ α ι, εἶναί τε καὶ οὐχὶ* **2.** Καταστρέφομαι/φθείρομαι, be destroyed/be ruined, Μέλισσος 7(2) *εἰ τοίνυν τριχὶ μιῇ μυρίοις ἔτεσιν ἑτεροῖον γίνοιτο, ὀ λ ε ῖ τ α ι πᾶν ἐν τῷ παντὶ χρόνῳ.*

ὁλόκληρος 1. Ὁλόκληρος, whole, Πυθαγόρειοι C 6 (DK I 465,23) *ἀπὸ ὁ λ ο κ λ ή ρ ο υ ἄρτου μὴ ἐσθίειν* **2.** Ὁλικός, total, Δημόκριτος 296 *γῆρας ὁ λ ό κ λ η ρ ό ς ἐστι πήρωσις· πάντ' ἔχει καὶ πᾶσιν ἐνδεῖ.*

ὁλοοίτροχος. Τρόχαλος/λίθινος ὅλμος, mortar of stone, Δημόκριτος 162 *ὀ λ ο ο ί τ ρ ο χ ο ν.*

ὅλος (τύπ. *οὖλος*) **1.** Ὅλος/ὁλόκληρος, whole/entire, Ἀναξιμένης 2 *οἷον ἡ ψυχὴ ... ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς,*

Ακαδημία Αθηνών / Academy of Athens

καὶ ὅ λ ο ν τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει Φιλόλαος 1 *ἁ φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅ λ ο ς ⟨ὁ⟩ κόσμος καὶ τὰ ἐν αὐτῷ πάντα* Δημόκριτος 204 *ἀνοήμονες οὐδέν' ἀνδάνουσιν (?)) ἐν ὅ λ η τῇ βιοτῇ* **2.** Ὅλος μαζὶ/ ἑνιαῖος, all together/uniform, Ξενοφάνης 24 *ο ὖ λ ο ς ὁρᾷ, ο ὖ λ ο ς δὲ νοεῖ, ο ὖ λ ο ς δέ τ' ἀκούει* Παρμενίδης 8.38 *τό γε Μοῖρ' ἐπέδησεν ο ὖ λ ο ν ἀκίνητόν τ' ἔμεναι.* || **τὸ ὅλον**. Ἡ ὁλότης, totality, Ἐμπεδοκλῆς 2.6 *τ ὸ δ' ὅ λ ο ν ⟨πᾶς⟩ εὔχεται εὑρεῖν* **3.** Ὁλικός, total/whole, Ἡράκλειτος 10 *συνάψιες ὅ λ α καὶ οὐχ ὅ λ α, συμφερόμενον διαφερόμενον, συνᾷδον διᾷδον, καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα* Ἀρχύτας 1.3 *περὶ γὰρ τᾶς τῶν ὅ λ ω ν φύσιος καλῶς διαγνόντες ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, καλῶς ὀφεῖσθαι.*

ὀλοφύρεσθαι. Ὀλοφύρομαι/θρηνῶ, wail/lament, Δημόκριτος 107a *ἄξιον ἀνθρώπους ὄντας ἐπ' ἀνθρώπων συμφοραῖς μὴ γελᾶν, ἀλλ' ὀ λ ο φ ύ ρ ε σ θ α ι.*

ὄλυμπος. Ὄλυμπος/οὐράνιος θόλος, Olympus/celestial dome, Παρμενίδης 11.2 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη αἰθήρ τε ξυνὸς γάλα τ' οὐράνιον καὶ ὄ λ υ μ π ο ς ἔσχατος ἠδ' ἄστρων θερμὸν μένος ὥρμήθησαν γίγνεσθαι* Ἐμπεδοκλῆς 44 *ἀνταυγεῖ πρὸς Ὄ λ υ μ π ο ν ἀταρβήτοισι προσώποις* Φιλόλαος A 16 (DK I 403,21) τὸ μὲν οὖν ἀνωτάτω μέρος τοῦ περιέχοντος, ἐν ᾧ τὴν εἰλικρίνειαν εἶναι τῶν στοιχείων, *ὄ λ υ μ π ο ν* καλεῖ, τὰ δὲ ὑπὸ τὴν τοῦ *ὀ λ ύ μ π ο υ* φοράν, ἐν ᾧ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, *κόσμον.*

ὄμβριος. Βρόχινος, rainy, Ξενοφάνης 30.4 *ὄ μ β ρ ι ο ν ὕδωρ.*

ὄμβρος 1 (συνών. *ὑετός*). Βροχή, rain, Ἐμπεδοκλῆς 21.5 *ὄ μ β ρ ο ν δ' ἐν πᾶσι δνοφόεντά τε ῥιγαλέον τε* 50 *Ἶρις δ' ἐκ πελάγους ἄνεμον φέρει ἢ μέγαν ὄμβρον* 111.6 *θήσεις δ' ἐξ ὄ μ β ρ ο ι ο κελαινοῦ καίριον αὐχμὸν ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου ῥεύματα δενδρεόθρεπτα, τά τ' αἰθέρι ναιήσονται (?)* Ἀναξαγόρας 19 *Ἶριν δὲ καλέομεν τὸ ἐν τῇσιν νεφέλῃσιν ἀντιλάμπον τῷ ἡλίῳ. χειμῶνος οὖν ἐστι σύμβολον· τὸ γὰρ περιχεόμε-*

Ακαδημία Αθηνών / Academy of Athens

νον ὕδωρ τῷ νέφει ἄνεμον ἐποίησεν ἢ ἐξέχεεν ὄ μ β ρ ο ν **2.** (συνών. ὕδωρ). Ὕδωρ/ὑγρό, water/liquid, Ἐμπεδοκλῆς 73.1 *ὡς δὲ τότε χθόνα Κύπρις, ἐπεί τ' ἐδίηνεν ἐν ὄ μ β ρ ῳ, εἴδεα ποιπνύουσα θοῷ πυρὶ δῶκε κρατῦναι* 98.2 *ἡ δὲ χθὼν τούτοισιν ἴση συνέκυρσε μάλιστα, Ἡφαίστῳ τ' ὄ μ β ρ ῳ τε καὶ αἰθέρι παμφανόωντι* 100.12-18 *οὐδεὶς ἄγγοσδ' ὄ μ β ρ ο ς ἐσέρχεται ... αἰθὴρ δ' ἐκτὸς ἔσω λελιημένος ὄ μ β ρ ο ν ἐρύκει.* Πρβλ. *αὐχμός.*

ὁμέστιος. Συνέστιος/σύνοικος, sharing the same hearth/dwelling together with, Ἐμπεδοκλῆς 147.1 *ἀθανάτοις ἄλλοισιν ὁ μ έ σ τ ι ο ι, αὐτοτράπεζοι ἐόντες, ἀνδρείων ἀχέων ἀπόκληροι, ἀτειρεῖς.*

ὁμιλεῖν. Συναναστρέφομαι, associate, Ἡράκλειτος 72 *ᾧ μάλιστα διηνεκῶς ὁ μ ι λ ο ῦ σ ι ... τούτῳ διαφέρονται.*

ὁμιλίη. Συναναστροφή, intercourse, Δημόκριτος 184 *φαύλων ὁ μ ι λ ί η συνεχὴς ἕξιν κακίης συναύξει.*

ὅμιλος. Τὸ συναθροισμένο πλῆθος, assembly, Ἡράκλειτος 104 *δήμων ἀοιδοῖσι πείθονται καὶ διδασκάλῳ χρείωνται ὁ μ ί λ ῳ.*

ὄμμα (συνών. *ὀφθαλμός*). Μάτι/βλέμμα, eye/gaze, Παρμενίδης 7.4 *μηδέ σ' ἔθος πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω, νωμᾶν ἄσκοπον ὄ μ μ α καὶ ἠχήεσσαν ἀκουὴν καὶ γλῶσσαν, κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον ἐξ ἐμέθεν ῥηθέντα* Ἐμπεδοκλῆς 17.21 *τὴν (sc. Φιλότητα) σὺ νόῳ δέρκευ, μηδ' ὄ μ μ α σ ι ν ἧσο τεθηπὼς* 57.3 *ὄ μ μ α τ α τ' οἴ(α) ἐπλανᾶτο πενητεύοντα μετώπων* 86 *ἐξ ὧν ὄ μ μ α τ' ἔπηξεν ἀτειρέα δῖ' Ἀφροδίτη* 109a *ἀπορροὰς φαίη ἂν ἀπιέναι ἀπὸ ἑκάστου τῶν κατοπτριζομένων καὶ τ⟨οῖς⟩ ⟨ὄ μ μ α σ ι ν ὥσ⟩περ ἐούσας ⟨εἰκόνας ἐναρμόζεσθαι⟩* Δημόκριτος A 135 (DK II 114,32 καὶ 116,1) ἔπειτα τοῦτον (sc. τὸν ἀέρα) στερεὸν ὄντα καὶ ἀλλόχρων ἐμφαίνεσθαι τοῖς *ὄ μ μ α σ ι ν* ὑγροῖς ... ἄτοπον δὲ καὶ τὸ μὴ μόνον τοῖς *ὄ μ μ α σ ι ν, ἀλλὰ καὶ τῷ ἄλλῳ* σώματι μεταδιδόναι τῆς αἰσθήσεως. Πρβλ. *ὄψις.*

ὁμογενής. Ὁμογενὴς/ὁμοειδής, homogeneous/of the same kind, Δημόκριτος 5 (DK II 135,27) *πρὸς τὸν ὁ μ ο γ ε ν ῆ* τόπον συνδρομεῖν 164 *καὶ γὰρ ζῷα ... ὁ μ ο γ ε ν έ σ ι ζῴοις συναγελάζεται.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ὅμοιος (τύπ. *ὁμοίιος, ὁμοῖος*, ἀντίθ. *ἀνόμοιος, ἐναντίος*) **1.** Ὅμοιος/παρόμοιος, alike/similar, Ξενοφάνης 15.3 *ἀλλ' εἰ χεῖρας ἔχον βόες ... βουσὶν ὁ μ ο ί α ς καί ⟨κε⟩ θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίουν* 23.2 *εἷς θεός, ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος, οὔτι δέμας θνητοῖσιν ὁ μ ο ί ι ο ς οὐδὲ νόημα* Ἐμπεδοκλῆς 17.35 *ἀλλ' αὐτ(ὰ) ἔστιν ταῦτα, δι' ἀλλήλων δὲ θέοντα γίγνεται ἄλλοτε ἄλλα καὶ ἠνεκὲς αἰὲν ὁ μ ο ῖ α* 62.6 *τοὺς μὲν πῦρ ἀνέπεμπε θέλον πρὸς ὁ μ ο ῖ ο ν ἱκέσθαι* Φιλόλαος 6.8-10 *ταὶ ἀρχαὶ ὑπᾶρχον οὐχ ὁ μ ο ῖ α ι οὐδ' ὁμόφυλοι ἔσσαι ... τὰ μὲν ὢν ὁ μ ο ῖ α καὶ ὁμόφυλα ἁρμονίας οὐδὲν ἐπεδέοντο* Διογένης 5.14-17 *ὅ μ ο ι ο ν δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζῴων ἐστίν (ἐπεὶ οὐδὲ τῶν ἀνθρώπων ἀλλήλοις) ... οὐ μέντοι ἀτρεκέως γε ὅ μ ο ι ο ν οὐδὲν οἷόν τε γενέσθαι τῶν ἑτεροιουμένων ἕτερον τῷ ἑτέρῳ, πρὶν τὸ αὐτὸ γένηται* Δημόκριτος 249 *στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις ὁ μ ο ί η φθορὴ* Ἀρχύτας A 17 (DK I 429,15) *ἐκάλουν δὲ τὰς μὲν ἀφαιρουμένας μονάδας ὅ μ ο ι α, τὰ δὲ λειπόμενα μετὰ τὴν ἀφαίρεσιν ἀνόμοια, διὰ δύο αἰτίας, ὅτι ἐξ ἀμφοῖν τῶν ὅρων ὁμοία ἡ ἀφαίρεσις ἐγίνετο καὶ ἴση.* Πρβλ. *ὁμόφυλος* **2.** Ὅμοιος/ταὐτός, alike/self-identical, Παρμενίδης 8.22 *οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ πᾶν ἐστιν ὁ μ ο ῖ ο ν* Ζήνων 1.5 *ὅ μ ο ι ο ν δὴ τοῦτο ἅπαξ τε εἰπεῖν καὶ ἀεὶ λέγειν* Μέλισσος 7(1)-(2)-(4) *οὕτως οὖν ἀίδιόν ἐστι καὶ ἄπειρον καὶ ἓν καὶ ὅ μ ο ι ο ν πᾶν ... εἰ γὰρ ἑτεροιοῦται, ἀνάγκη τὸ ἐὸν μὴ ὁ μ ο ῖ ο ν εἶναι, ἀλλὰ ἀπόλλυσθαι τὸ πρόσθεν ἐόν, τὸ δὲ οὐκ ἐὸν γίνεσθαι ... οὐδ' ἂν ὁ μ ο ῖ ο ν εἴη, εἰ ἀλγέοι· ἀπογινομένου γάρ τευ ἂν ἀλγέοι ἢ προσγινομένου, κοὐκ ἂν ἔτι ὁ μ ο ῖ ο ν εἴη* 8(3) *δοκεῖ δὲ ἡμῖν ... ὅ,τι ἦν τε καὶ ὃ νῦν οὐδὲν ὁ μ ο ῖ ο ν εἶναι* Ἀναξαγόρας 12.27-28 *νοῦς δὲ πᾶς ὅ μ ο ι ό ς ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐλάττων. ἕτερον δὲ οὐδέν ἐστιν ὅ μ ο ι ο ν οὐδενί.* || **ὁμοίως.** Ὅμοια/παρόμοια, in the same way/similarly, Μέλισσος 7(8) *τὸ γὰρ ἀραιὸν οὐκ ἀνυστὸν πλέων εἶναι ὁ μ ο ί ω ς τῷ πυκνῷ, ἀλλ' ἤδη τὸ ἀραιόν γε κενεώτερον γίνεται τοῦ πυκνοῦ* Ἀναξαγόρας 12.8 *καὶ ἂν ἐκώλυεν αὐτὸν τὰ συμμεμειγμένα, ὥστε μηδενὸς χρήματος κρατεῖν ὁ μ ο ί ω ς ὡς καὶ μόνον ἐόντα ἐφ' ἑαυτοῦ* Διογένης 5.6 *μετέχει δὲ οὐδὲ ἓν ὁ μ ο ί ω ς τὸ ἕτερον τῷ ἑτέρῳ, ἀλλὰ πολλοὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιός εἰσιν* Δημόκριτος A 130 (DK II 113,33)

Ακαδημία Αθηνών / Academy of Athens

εἰ καὶ μὴ πᾶσιν ὁ αὐτὸς (sc. *χυμός*) *ὁ μ ο ί ω ς φαίνεται* 243 *ἐν δὲ ἑκάστῃ ἀποτυχίῃ τὸ πονεῖν* (?) *ὁ μ ο ί ω ς ἀνιηρὸν καὶ τλαίπωρον* Ἀρχύτας 1.15 ⟨*τὰ*⟩ *δ' ὁ μ ο ί ω ς φερόμενα, μὴ ἴσῳ δὲ τάχει, περικαταλαμβανόμενα παρὰ τῶν ἐπιφερομένων τυπτόμενα ποιεῖν ψόφον.*

ὁμοιοσχήμων. Ὁμοιόσχημος/ὁμοιόμορφος, of the same form/uniform, Δημόκριτος A 128 (DK II 113,11-16) *καὶ τὸν ἀέρα φησὶν εἰς ὁ μ ο ι ο σ χ ή μ ο ν α θρύπτεσθαι σώματα καὶ συγκαλινδεῖσθαι τοῖς ἐκ τῆς φωνῆς θραύσμασι ... καὶ ἐπὶ τῶν κοσκινευόντων δὲ ἐπὶ τὸ αὐτὸ συναλίζεται τὰ ὁ μ ο ι ο σ χ ή μ ο ν α.*

ὁμοιότης. Ὁμοιότης, similarity, Δημόκριτος 164.12 *ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν πραγμάτων τῆς ἐν τούτοις ὁ μ ο ι ό τ η τ ο ς.*

ὁμοιοῦσθαι. Ἐξομοιώνομαι, liken oneself to, Ἐμπεδοκλῆς 22.5 *ἀλλήλοις ἔστερκται ὁ μ ο ι ω θ έ ν τ' Ἀφροδίτῃ.*

ὁμολογεῖν. Συμφωνῶ, agree, Ἡράκλειτος 50 *οὐκ ἐμοῦ, ἀλλὰ τοῦ λόγου ἀκούσαντας ὁ μ ο λ ο γ ε ῖ ν σοφόν ἐστιν ἓν πάντα εἶναι* 51 *οὐ ξυνιᾶσιν ὅκως διαφερόμενον ἑωυτῷ ὁ μ ο λ ο γ έ ε ι* Μέλισσος 8(4) *οὐ τοίνυν ταῦτα ἀλλήλοις ὁ μ ο λ ο γ ε ῖ.*

ὁμόνοια (ἀντίθ. *στάσις*). Ὁμόνοια/ὁμοφροσύνη, concord/unanimity, Δημόκριτος 250 *ἀπὸ ὁ μ ο ν ο ί η ς τὰ μεγάλα ἔργα καὶ ταῖς πόλεσι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ* Ἀρχύτας 3.7 *στάσιν μὲν ἔπαυσεν, ὁ μ ό ν ο ι α ν δὲ αὔξησεν λογισμὸς εὑρεθείς.* Πρβλ. *ὁμόνοος.*

ὁμόνοος. Μονοιασμένος/ὁμόφρων, concordant/of one mind, Δημόκριτος 255.5 *τοὺς πολιήτας ὁ μ ο ν ό ο υ ς εἶναι.* Πρβλ. *ὁμόνοια.*

ὁμοσχημονεῖν. Παίρνω τὸ ἴδιο *σχῆμα*, take the same shape, Δημόκριτος A 135 (DK II 115,2) *καὶ αἱ φλέβες* ⟨*αἱ*⟩ *κατὰ τοὺς ὀφθαλμοὺς εὐθεῖαι καὶ ἄνικμοι, ὡς ὁ μ ο σ χ η μ ο ν ε ῖ ν τοῖς ἀποτυπουμένοις· τὰ γὰρ ὁμόφυλα μάλιστα ἕκαστον γνωρίζειν.*

Ακαδημία Αθηνών / Academy of Athens

ὁμοῦ 1. Μαζί/σὲ ἀχώριστο σύνολο, together/in an unseparated whole, Παρμενίδης 8.5 *ἔστιν ὁ μ ο ῦ πᾶν, ἕν, συνεχὲς* Ἀναξαγόρας 1.1-3 *ὁ μ ο ῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα... καὶ πάντων ὁ μ ο ῦ ἐόντων οὐδὲν ἔνδηλον ἦν ὑπὸ σμικρότητος* 4.13 *πρὶν δὲ ἀποκριθῆναι ταῦτα πάντων ὁ μ ο ῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία* 6.6 *εἶναι καὶ νῦν πάντα ὁ μ ο ῦ* **2**. Μαζί/συνάμα, together/alike, Παρμενίδης 9.3 *πᾶν πλέον ἐστὶν ὁ μ ο ῦ φάεος καὶ νυκτὸς ἀφάντου.*

ὁμουρεῖν. Συνορεύω/ἔρχομαι σὲ ἐπαφή, border on/come into contact, Μέλισσος 8(3) *ὅ τε σίδηρος σκληρὸς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι ὁ μ ο υ ρ έ ω ν, καὶ χρυσὸς καὶ λίθος.*

ὁμοφροσύνη. Ὁμοφροσύνη, community of mind and feeling, Δημόκριτος 186 *ὁ μ ο φ ρ ο σ ύ ν η φιλίην ποιεῖ.*

ὁμόφυλος. Ὁμοειδὴς/συγγενικός, of the same race/akin, Φιλόλαος 6.8-11-12 *ἐπεὶ δὲ ταὶ ἀρχαὶ ὑπᾶρχον οὐχ ὁμοῖαι οὐδ' ὁ μ ό φ υ λ ο ι ἔσσαι, ἤδη ἀδύνατον ἦς κα αὐταῖς κοσμηθῆναι, εἰ μὴ ἁρμονία ἐπεγένετο ὥτινιῶν ἅδε τρόπῳ ἐγένετο. τὰ μὲν ὦν ὁμοῖα καὶ ὁ μ ό φ υ λ α ἁρμονίας οὐδὲν ἐπεδέοντο, τὰ δὲ ἀνόμοια μηδὲ ὁ μ ό φ υ λ α μηδὲ ἰσοταγῆ ἀνάγκα τᾷ τοιαύτᾳ ἁρμονίᾳ συγκεκλεῖσθαι, οἵᾳ μέλλοντι ἐν κόσμῳ κατέχεσθαι.* Πρβλ. *ὅμοιος, ἰσοταγής.*

Ὀμφαίη (ἀντίθ. *Σωπή*). Ἡ Ἱερὴ Φωνή (προσωποπ.), Holy Voice (personif.), Ἐμπεδοκλῆς 123.3 *Κινώ τ' Ἀστεμφής τε, πολυστέφανός τε Μεγιστὼ καὶ Φορύη, Σωπή τε καὶ Ὀ μ φ α ί η.*

ὀμφαλός. Ὀμφαλὸς/ἀφαλός, navel, Φιλόλαος 13.2-5 *τέσσαρες ἀρχαὶ τοῦ ζῴου τοῦ λογικοῦ ... κεφαλὰ μὲν νόου, καρδία δὲ ψυχᾶς καὶ αἰσθήσιος, ὀ μ φ α λ ὸ ς δὲ ῥιζώσιος καὶ ἀναφύσιος τοῦ πρώτου ... ἐγκέφαλος δὲ ⟨σαμαίνει⟩ τὰν ἀνθρώπω ἀρχάν, καρδία δὲ τὰν ζώου, ὀ μ φ α λ ὸ ς δὲ τὰν φυτοῦ* Δημόκριτος 148 *ὁ γὰρ ὀ μ φ α λ ὸ ς πρῶτον ἐν μήτρῃσιν ... ἀγκυρηβόλιον σάλου καὶ πλάνης ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γεννωμένῳ καρπῷ καὶ μέλλοντι.*

ὁμῶς 1. Ὅμοια/ἐπίσης, at the same time/as well, Παρμενίδης 6.7 *ἀμηχανίη γὰρ ἐν αὐτῶν στήθεσιν ἰθύνει πλακτὸν νόον.*

Ακαδημία Αθηνών / Academy of Athens

οἱ δὲ φοροῦνται κωφοὶ ὁ μ ῶ ς τυφλοί τε, τεθηπότες, ἄκριτα φῦλα Ἀρχύτας 4.5 *καὶ ἃ ἐκλείπει αὖ ἁ γεωμετρία, καὶ ἀποδείξιας ἁ λογιστικὰ ἐπιτελεῖ καὶ ὁ μ ῶ ς, εἰ μὲν εἰδέων τεὰ πραγματεία, καὶ τὰ περὶ τοῖς εἴδεσιν* **2.** Ὅμοια/ἐνιαῖα, similarly/uniformly, Παρμενίδης 8.49 *οἳ γὰρ πάντοθεν ἶσον, ὁ μ ῶ ς ἐν πείρασι κύρει.* || **εἰς ὁμόν.** Παρμενίδης 8.47 *ἱκνεῖσθαι ε ἰ ς ὁ μ ό ν.*

ὄναρ (ἀντίθ. *ὕπαρ*). Στὸν ὕπνο/σὲ ὄνειρο, in sleep/in a dream, Δημόκριτος 174 *ὁ μὲν εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα καὶ ὕπαρ καὶ ὄ ν α ρ χαίρει τε καὶ ἔρρωται καὶ ἀνακηδής ἐστιν.*

ὄνειδος (συνών. *ψόγος*) **1.** Ὄνειδος/καταισχύνη, ignominy, Ξενοφάνης 11.2 *πάντα θεοῖσ' ἀνέθηκαν Ὅμηρος θ' Ἡσίοδός τε, ὅσσα παρ' ἀνθρώποισιν ὀ ν ε ί δ ε α καὶ ψόγος ἐστίν, κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν* **2.** Ὄνειδος/ἀτιμία, dishonour, Δημόκριτος 218 *πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄ ν ε ι δ ο ς κέκτηται.*

ὀνήιστος 1. Ἀξιώτατος/ἐξαίρετος, most worthy / distinguished, Ἡράκλειτος 121 *Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀ ν ή ι σ τ ο ν ἐξέβαλον φάντες· ἡμέων μηδὲ εἷς ὀ ν ή ι σ τ ο ς ἔστω, εἰ δὲ μή, ἄλλῃ τε καὶ μετ' ἄλλων* **2.** Χρησιμώτατος/ὠφελιμώτατος, most useful/most profitable, Ἀναξαγόρας 4.9 *καὶ τὴν γῆν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα, ὧν ἐκεῖνοι τὰ ὀ ν ή ι σ τ α συνενεγκάμενοι εἰς τὴν οἴκησιν χρῶνται.* Πρβλ. ἄριστος, ἐσθλός, χρηστός, χρήσιμος.

ὄνομα 1. Ὄνομα/ἔννοια, name/signification, Ἡράκλειτος 23 *Δίκης ὄ ν ο μ α οὐκ ἂν ἤδεσαν, εἰ ταῦτα μὴ ἦν* 32 *ἓν τὸ σοφὸν μοῦνον λέγεσθαι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς ὄ ν ο μ α* **2.** Ὄνομα/ὀνομασία, name/naming, Ἡράκλειτος 48 *τῷ οὖν τόξῳ ὄ ν ο μ α βίος, ἔργον δὲ θάνατος* Παρμενίδης 8.38 *τῷ πάντ' ὄ ν ο μ (α) ἔσται, ὅσσα βροτοὶ κατέθεντο πεποιθότες εἶναι ἀληθῆ, γίγνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐχὶ* 19.3 *τοῖς δ' ὄ ν ο μ' ἄνθρωποι κατέθεντ' ἐπίσημον ἑκάστῳ* Δημόκριτος 283 *πενίη πλοῦτος ὀ ν ό μ α τ α ἐνδείης καὶ κόρου· οὔτε οὖν πλούσιος ⟨ὁ⟩ ἐνδέων οὔτε πένης ὁ μὴ ἐνδέων.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ὀνομάζειν (συνών. *καλεῖν, λέγειν*). 'Ονομάζω/ὀνοματίζω, name/give a name to, Παρμενίδης 8.53 *μορφὰς γὰρ κατέθεντο δύο γνώμας ὀ ν ο μ ά ζ ε ι ν.* || **ὀνομάζεσθαι**. 'Ονομάζομαι/χαρακτηρίζομαι, be named/be characterized, 'Ηράκλειτος 67 *ἀλλοιοῦται δὲ (sc. ὁ θεός) ὅκωσπερ ⟨πῦρ⟩, ὁπόταν συμμιγῇ θυώμασιν, ὀ ν ο μ ά ζ ε τ α ι καθ' ἡδονὴν ἑκάστου* Παρμενίδης 9.1 *αὐτὰρ ἐπειδὴ πάντα φάος καὶ νὺξ ὀ ν ό μ α σ τ α ι* 'Εμπεδοκλῆς 8.4 *φύσις δ' ἐπὶ τοῖς ὀ ν ο μ ά ζ ε τ α ι ἀνθρώποισιν.* Πρβλ. *ὄνομα.*

ὀνομαστικά. Βιβλία περὶ ὀνομάτων, books about names, Δημόκριτος 26a (τίτλ.) *'Ο ν ο μ α σ τ ι κ ῶ ν.*

ὀξυβελὴς 1. 'Οξυβόλος, sharp-edged, 'Εμπεδοκλῆς 40 *"Ηλιος ὀ ξ υ β ε λ ὴ ς ἠδ' ἱλάειρα Σελήνη* **2**. Αἰχμηρός, pointed, 'Εμπεδοκλῆς 83.2 *αὐτὰρ ἐχίνοις ὀ ξ υ β ε λ ε ῖ ς χαῖται νώτοις ἐπιπεφρίκασι.*

ὀξυδερκείη. 'Οξυδέρκεια/ὀξύνοια, sharp-sightedness/ acuteness, Δημόκριτος 119 *τὰ δὲ πλεῖστα ἐν βίῳ εὐξύνετος ὀ ξ υ δ ε ρ κ ε ί η κατιθύνει.*

ὀξὺς 1. Ξυνὸς/δριμύς, sour/sharp, 'Εμπεδοκλῆς 90.2 *ὡς γλυκὺ μὲν γλυκὺ μάρπτε, πικρὸν δ' ἐπὶ πικρὸν ὄρουσεν, ὀ ξ ὺ δ' ἐπ' ὀ ξ ὺ ἔβη, δαερὸν δ' ἐποχεῖτο δαηρῷ* **2**. Σφοδρὸς/βίαιος, sharp/violent, Διογένης 5.10 *ὀ ξ υ τ έ ρ η ν κίνησιν ἔχων* Δημόκριτος 273 *γυνὴ πολλὰ ἀνδρὸς ὀ ξ υ τ έ ρ η πρὸς κακοφραδμοσύνην* **3**. 'Οξὺς/μυτερός, sharp/pointed, Δημόκριτος A 135 (DK II 118,5) *τὸν μὲν οὖν ὀ ξ ὺ ν εἶναι τῷ σχήματι γωνοειδῆ τε καὶ πολυκαμπῆ* **4**. (ἀντίθ. *βαρύς*). 'Οξὺς/ψιλός, sharp/shrill, 'Αρχύτας 1.26-29-31-44-45-49-52-55 *ἃ μὲν ἀπὸ τᾶν πλαγᾶν ταχὺ παραγίνεται ... ὀ ξ έ α φαίνεται ... βαρὺν ποιήσει τὸν ψόφον· αἱ δέ κα ταχύ τε καὶ ἰσχυρῶς, ὀ ξ ὺ ν ... χρῄζομές τι μέγα φθέγξασθαι καὶ ὀ ξ ὺ ... ἔν γα τοῖς αὐλοῖς τὸ ἐκ τῶ στόματος φερόμενον πνεῦμα ἐς μὲν τὰ ἐγγὺς τῶ στόματος τρυπήματα ἐμπῖπτον ... ὀ ξ ύ τ ε ρ ο ν ἄχον ἀφίησιν, ἐς δὲ τὰ πόρσω, βαρύτερον· ὥστε δῆλον ὅτι ἁ ταχεῖα κίνασις ὀ ξ ὺ ν ποιεῖ, ἁ δὲ βραδεῖα βαρὺν τὸν ἄχον ... ἡσυχᾷ μὲν κινούμενοι βαρὺν ἀφιέντι ἄχον, ἰσχυρῶς δέ, ὀ ξ ὺ ν ... ὀ ξ ὺ φθεγξεῖται ... ὀ ξ ε ῖ ς φθόγγοι τάχιον κινέονται.* || **δι' ὀξειᾶν**. 'Η πέμπτη (μουσι-

Ακαδημία Αθηνών / Academy of Athens

κὸς ὅρος), the fifth (musical term), Φιλόλαος 6.15-22 *ἁρμονίας δὲ μέγεθός ἐστι συλλαβὰ καὶ δι' ὀ ξ ε ι ᾶ ν· τὸ δὲ δι' ὀ ξ ε ι ᾶ ν μεῖζον τᾶς συλλαβᾶς ἐπογδόῳ. ἔστι γὰρ ἀπὸ ὑπάτας ἐπὶ μέσσαν συλλαβά, ἀπὸ δὲ μέσσας ἐπὶ νεάταν δι' ὀ ξ ε ι ᾶ ν, ἀπὸ δὲ νεάτας ἐς τρίταν συλλαβά, ἀπὸ δὲ τρίτας ἐς ὑπάταν δι' ὀ ξ ε ι ᾶ ν· τὸ δ' ἐν μέσῳ μέσσας καὶ τρίτας ἐπόγδοον· ἁ δὲ συλλαβὰ ἐπίτριτον, τὸ δὲ δι' ὀ ξ ε ι ᾶ ν ἡμιόλιον, τὸ διὰ πασᾶν δὲ διπλόον. οὕτως ἁρμονία πέντε ἐπόγδοα καὶ δύο διέσιες, δι' ὀ ξ ε ι ᾶ ν δὲ τρία ἐπόγδοα καὶ δίεσις, συλλαβὰ δὲ δύ' ἐπόγδοα καὶ δίεσις.*

ὀπηδεῖν. Ἀκολουθῶ, follow, Παρμενίδης 2.4 *Ἀληθείῃ γὰρ ὀ π η δ ε ῖ.*

ὄπισθεν. Ὀπίσω, behind, Διογένης 6.19 *ἡ δὲ μεγίστη αὐτῶν ὄ π ι σ θ ε ν τείνει τοῦ μηροῦ.*

ὁπλομαχικόν. Περὶ ὁπλομαχίας, on armed warfare, Δημόκριτος 28c (τίτλ.) *Ὁ π λ ο μ α χ ι κ ό ν.*

ὁποῖος (τύπ. *ὁκοῖος*). Ὁποῖος/ὅποιος, of what kind, Ἡράκλειτος 1.6 *ἐπέων καὶ ἔργων τοιούτων, ὁ κ ο ί ω ν ἐγὼ διηγεῦμαι* 31 *θάλασσα διαχέεται, καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον, ὁ κ ο ῖ ο ς πρόσθεν ἦν ἢ γενέσθαι γῇ* Ἀναξαγόρας 12.17-18 *καὶ ὁ π ο ῖ α ἔμελλεν ἔσεσθαι καὶ ὁ π ο ῖ α ἦν, ἅσσα νῦν μὴ ἔστι, καὶ ὅσα νῦν ἐστι καὶ ὁ π ο ῖ α ἔσται, πάντα διεκόσμησε νοῦς* Δημόκριτος 235.7 *ὁκόταν γένηται ὁ κ ο ί ω ν ἐπιθυμέουσι, διὰ ταχέος τε ἡ ἡδονὴ παροίχεται.* || **ὁποῖον.** Ὡς ἐάν, as if, Ἡράκλειτος 5.5 *καὶ τοῖς ἀγάλμασι δὲ τουτέοισιν εὔχονται, ὁ κ ο ῖ ο ν εἴ τις δόμοισι λεσχηνεύοιτο, οὔ τι γινώσκων θεοὺς οὐδ' ἥρωας οἵτινές εἰσι.*

ὁρᾶν (συνών. *βλέπειν, δέρκεσθαι, θεᾶσθαι, θεωρεῖν, λεύσειν*) **1.** Βλέπω, see, Ξενοφάνης 24 *οὖλος ὁ ρ ᾷ, οὖλος δὲ νοεῖ, οὖλος δέ τ' ἀκούει* Ἡράκλειτος 21 *θάνατός ἐστιν ὁκόσα ἐγερθέντες ὁ ρ έ ο μ ε ν, ὁκόσα δὲ εὕδοντες ὕπνος* 56.5-6 *ὅσα ε ἴ δ ο μ ε ν καὶ ἐλάβομεν, ταῦτα ἀπολείπομεν, ὅσα δὲ οὔτε ε ἴ δ ο μ ε ν οὔτ' ἐλάβομεν, ταῦτα φέρομεν* Μέλισσος 8(2)-(3)-(5) *εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ ... καὶ ἡμεῖς ὀρθῶς ὁ ρ ῶ μ ε ν καὶ ἀκούομεν ... νῦν δέ φαμεν ὀρθῶς*

Ακαδημία Αθηνών / Academy of Athens

ὁ ρ ᾶ ν καὶ ἀκούειν καὶ συνιέναι ... ὥστε συμβαίνει μήτε ὁ ρ ᾶ ν μήτε τὰ ὄντα γινώσκειν ... οὐκ ὀρθῶς ἑ ω ρ ῶ μ ε ν 'Εμπεδοκλῆς 21.3 *ἠέλιον μὲν λευκὸν ὁ ρ ᾶ ν καὶ θερμὸν ἁπάντῃ* 76.3 *ὄ ψ ε ι χθόνα χρωτὸς ὑπέρτατα ναιετάουσαν* 118 *κλαῦσά τε καὶ κώκυσα ἰ δ ὼ ν ἀσυνήθεα χῶρον* Διογένης 5.23 *ὅμως δὲ πάντα τῷ αὐτῷ καὶ ζῇ καὶ ὁ ρ ᾷ καὶ ἀκούει, καὶ τὴν ἄλλην νόησιν ἔχει ἀπὸ τοῦ αὐτοῦ πάντα* Δημόκριτος 11.6 *ὅταν ἡ σκοτίη (sc. γνώμη) μηκέτι δύνηται μήτε ὁ ρ ῆ ν ἐπ' ἔλαττον μήτε ἀκούειν μήτε ὀδμᾶσθαι* 164.4 *καθάπερ ὁ ρ ᾶ ν πάρεστιν* **2.** Γνωρίζω, perceive/be aware of, Ξενοφάνης 34.1 *καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴ δ ε ν οὐδέ τις ἔσται εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων* 'Εμπεδοκλῆς 39.3 *ὀλίγον τοῦ παντὸς ἰ δ ό ν τ ω ν* 109.1 *γαίῃ μὲν γὰρ γαῖαν ὀ π ώ π α μ ε ν, ὕδατι δ' ὕδωρ* Φιλόλαος 11.16 *ἴ δ ο ι ς δέ κα οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις πράγμασι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν, ἀλλὰ καὶ ἐν τοῖς ἀνθρωπικοῖς ἔργοις καὶ λόγοις* 'Αρχύτας 1.5-39 *περὶ γὰρ τᾶς τῶν ὅλων φύσιος καλῶς διαγνόντες ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, καλῶς ὀ ψ ε ῖ σ θ α ι ... ἀλλὰ μὰν καὶ τούτῳ γά κα ἴ δ ο ι μ ε ς ἰσχυροτάτῳ σαμείῳ.* ||**ὁρᾶσθαι.** Φαίνομαι/εἶμαι ὁρατός, appear/be visible, Ξενοφάνης 28.1 *γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ ποσσὶν ὁ ρ ᾶ τ α ι ἠέρι προσπλάζον, τὸ κάτω δ' ἐς ἄπειρον ἱκνεῖται* 32.2 *πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰ δ έ σ θ α ι* Μέλισσος 8(4) *πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκεῖ καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁ ρ ω μ έ ν ο υ* 'Εμπεδοκλῆς 35.17 *θαῦμα ἰ δ έ σ θ α ι.* Πρβλ. *αἰσθάνεσθαι, ἀκούειν, συνιέναι, εἰδέναι.*

ὄργανον. "Οργανο, instrument, Δημόκριτος 11.8 ⟨ ... *τότε ἐπιγίνεται ἡ γνησίη ἅτε ὄ ρ γ α ν ο ν ἔχουσα τοῦ νῶσαι λεπτότερον*⟩ 159.6 *ὥσπερ ὀ ρ γ ά ν ο υ τινὸς ἢ σκεύους κακῶς ἔχοντος.* Πρβλ. *σκεῦος.*

ὀρέγεσθαι. 'Επιθυμῶ, desire, Δημόκριτος 201 *ἀνοήμονες δηναιότητος ὀ ρ έ γ ο ν τ α ι οὐ τερπόμενοι δηναιότητι* 202 *ἀνοήμονες τῶν ἀπεόντων ὀ ρ έ γ ο ν τ α ι, τὰ δὲ παρεόντα καὶ παρῳχημένων κερδαλεώτερα ἐόντα ἀμαλδύνουσιν* 205 *ἀνοήμονες ζωῆς ὀ ρ έ γ ο ν τ α ι ... θάνατον δεδοικότες.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ὄρεξις. 'Επιθυμία, desire, Δημόκριτος 72 *αἱ περί τι σφοδραὶ ὀ ρ έ ξ ε ι ς τυφλοῦσιν εἰς τἄλλα τὴν ψυχὴν* 219 *χρημάτων ὄ ρ ε ξ ι ς, ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη· μέζονες γὰρ ὀ ρ έ ξ ε ι ς μέζονας ἐνδείας ποιεῦσιν* 284 *ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει· σμικρὰ γὰρ ὄ ρ ε ξ ι ς πενίην ἰσοσθενέα πλούτῳ ποιέει.* Πρβλ. *ἐπιθυμία.*

ὀρθοέπεια. 'Ορθοέπεια, correct diction, Δημόκριτος 20a (τίτλ.) *Περὶ Ὁμήρου ἢ 'O ρ θ ο ε π ε ί η ς καὶ γλωσσέων.*

ὀρθοπραγεῖν. Πράττω ὀρθά, act rightly, Δημόκριτος 181.6 *διόπερ συνέσει τε καὶ ἐπιστήμῃ ὀ ρ θ ο π ρ α γ έ ω ν τις ἀνδρεῖος ἅμα καὶ εὐθύγνωμος γίγνεται.*

ὀρθός. 'Ορθός, right, Δημόκριτος 58 *ἐλπίδες αἱ τῶν ὀ ρ θ ὰ φρονεόντων ἐφικταί, αἱ δὲ τῶν ἀξυνέτων ἀδύνατοι.*

ὀρθοσύνη. 'Ορθοφροσύνη, uprightness, Δημόκριτος 40 *οὔτε σώμασιν οὔτε χρήμασιν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀ ρ θ ο σ ύ ν η καὶ πολυφροσύνῃ.*

ὀρθοῦν. 'Αναιρῶ/ἐξουδετερώνω, take back/offset, Δημόκριτος 187 *ψυχῆς μὲν γὰρ τελεότης σκήνεος μοχθηρίην ὀ ρ θ ο ῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησιν.*

ὀρθῶς. 'Ορθῶς, rightly/justly, Μέλισσος 8(2)-(5) *εἰ δὴ ταῦτα ἔστι, καὶ ἡμεῖς ὀ ρ θ ῶ ς ὁρῶμεν καὶ ἀκούομεν, εἶναι χρὴ ἕκαστον τοιοῦτον, οἷόν περ τὸ πρῶτον ἔδοξεν ἡμῖν ... νῦν δέ φαμεν ὀ ρ θ ῶ ς ὁρᾶν καὶ ἀκούειν καὶ συνιέναι ... δῆλον τοίνυν, ὅτι οὐκ ὀ ρ θ ῶ ς ἑωρῶμεν οὐδὲ ἐκεῖνα πολλὰ ὀ ρ θ ῶ ς δοκεῖ εἶναι· οὐ γὰρ ἂν μετέπιπτεν, εἰ ἀληθῆ ἦν* 'Αναξαγόρας 17 *τὸ δὲ γίνεσθαι καὶ ἀπόλλυσθαι οὐκ ὀ ρ θ ῶ ς νομίζουσιν οἱ Ἕλληνες ... καὶ οὕτως ἂν ὀ ρ θ ῶ ς καλοῖεν τό τε γίνεσθαι συμμίσγεσθαι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι* 'Αρχύτας 1.2 *οὐθὲν ἄτοπον ὀ ρ θ ῶ ς αὐτούς, οἷά ἐντι, περὶ ἑκάστων φρονέειν.*

ὄρθωσις. Παράγων σωτηρίας/ἐγγύηση ἐπιτυχίας, saving factor/guarantee of success, Δημόκριτος 252.5 *πόλις γὰρ εὖ*

Ακαδημία Αθηνών / Academy of Athens

ἀγομένη μεγίστη ὄ ρ θ ω σ ί ς ἐστι, καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σῳζομένου πάντα σῴζεται καὶ τούτου διαφθειρομένου τὰ πάντα διαφθείρεται.

ὁρίζειν 1. Ὁρίζω/περιορίζω, limit, Δημόκριτος 219 *χρημάτων ὄρεξις, ἢν μὴ ὁ ρ ί ζ η τ α ι κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη* **2.** Ὁρίζω/ἀποφασίζω, determine/decide, Δημόκριτος 262 *ὃς δ' ἂν παρὰ νόμον ἀπολύῃ κέρδει ὁ ρ ί ζ ω ν ἢ ἡδονῇ, ἀδικεῖ.*

ὅρκος. Ὅρκος, oath, Ἐμπεδοκλῆς 30.3 *πλατέος παρ' ἐλήλαται ὅ ρ κ ο υ* 115.2 *πλατέεσσι κατεσφρηγισμένον ὅ ρ κ ο ι ς* Δημόκριτος 239 *ὅ ρ κ ο υ ς οὓς ποιέονται ἐν ἀνάγκῃσιν ἐόντες οὐ τηρέουσιν οἱ φλαῦροι* 259.6 *ἱερὰ ἑκάστοισι ἐπιχώρια καὶ σπονδαὶ καὶ ὅ ρ κ ο ι.*

ὁρμᾶσθαι. Ἐξορμῶ/ἀρχίζω, rush/start, Παρμενίδης 11.3 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη αἰθήρ τε ξυνὸς γάλα τ' οὐράνιον καὶ ὄλυμπος ἔσχατος ἠδ' ἄστρων θερμὸν μένος ὡ ρ μ ή θ η σ α ν γίγνεσθαι.*

ὁρμὴ 1. Ὁρμὴ/δύναμη, force/power, Ἐμπεδοκλῆς 35.13 *ὅσσον δ' αἰὲν ὑπεκπροθέοι, τόσον αἰὲν ἐπήῖει ἠπιόφρων Φιλότητος ἀμεμφέος ἄμβροτος ὁ ρ μ ὴ* **2.** Ροπὴ/τάση, tendency, Ἐμπεδοκλῆς 114.3 *μάλα δ' ἀργαλέη γε τέτυκται ἀνδράσι καὶ δύσζηλος ἐπὶ φρένα πίστιος ὁ ρ μ ή.*

ὁρμίζεσθαι. Προσορμίζομαι, moor, Ἐμπεδοκλῆς 98.3 *Κύπριδος ὁ ρ μ ι σ θ ε ῖ σ α τελείοις ἐν λιμένεσσιν.*

ὀρνιθίαι (ἄνεμοι). Ἐτήσιοι ἄνεμοι μεταγωγικοὶ τῶν ἀποδημητικῶν πουλιῶν, annual winds bringing the birds of passage, Δημόκριτος 14 (DK II 144,29) *ὀ ρ ν ι θ ί α ι.*

ὀρνύναι (συνών. *κινεῖν, ἀείρειν*). Ὑποκινῶ/ἐξωθῶ, impel/urge, Παρμενίδης 8.9 *τί δ' ἄν μιν καὶ χρέος ὦ ρ σ ε ν ὕστερον ἢ πρόσθεν, τοῦ μηδενὸς ἀρξάμενον, φῦν;* || **ὄρνυσθαι 1.** Ὑψώνομαι, be elevated, Ἐμπεδοκλῆς 2.9 *οὐ πλέον ἠὲ βροτείη μῆτις ὄ ρ ω ρ ε ν* **2.** Ἐφορμῶ, rush upon, Ἐμπεδοκλῆς 111.4 *παύ-*

Ακαδημία Αθηνών / Academy of Athens

σεις δ' ἀκαμάτων ἀνέμων μένος οἵ τ' ἐπὶ γαῖαν ὀ ρ ν ύ μ ε ν ο ι πνοιαῖσι καταφθινύθουσιν ἀρούρας.

ὅρος (τύπ. *οὖρος*) **1.** Ὅριο/σύνορο, limit/boundary, Ἡράκλειτος 120 *ἀντίον τῆς ἄρκτου ο ὖ ρ ο ς αἰθρίου Διὸς* Δημόκριτος 4 *τέρψις γὰρ καὶ ἀτερπίη ο ὖ ρ ο ς ⟨τῶν συμφόρων καὶ τῶν ἀσυμφόρων ...⟩* 188 *ὅ ρ ο ς συμφόρων καὶ ἀσυμφόρων* **2.** Ὅρος ἀναλογίας, term of proportion, Ἀρχύτας 2.3-7-12-15 *ὅκκα ἔωντι τρεῖς ὅ ρ ο ι ... τὸ τῶν μειζόνων ὅ ρ ω ν διάστημα μεῖον ... ὁ πρᾶτος ὅ ρ ο ς ὑπερέχει τοῦ δευτέρου ... τὸ τῶν μειζόνων ὅ ρ ω ν διάστημα* **3.** Ὅρος/προϋπόθεση, condition, Ἀνάξαρχος 1.4 *σοφίης γὰρ οὗτος ὅ ρ ο ς.*

ὀρούειν 1. Κινοῦμαι ὁρμητικά/σπεύδω, move violently/hasten, Ἐμπεδοκλῆς 90.1 *ὡς γλυκὺ μὲν γλυκὺ μάρπτε, πικρὸν δ' ἐπὶ πικρὸν ὄ ρ ο υ σ ε ν* **2.** Ρίπτομαι/πηδῶ, throw oneself upon/leap over, Δημόκριτος 228.3 *ὥσπερ οἱ ὀρχησταὶ οἱ ἐς τὰς μαχαίρας ὀ ρ ο ύ ο ν τ ε ς.*

ὄρπηξ. Βλαστὸς/γόνος, offspring/descendant, Ἐμπεδοκλῆς 62.2 *ἀνδρῶν τε πολυκλαύτων τε γυναικῶν ἐννυχίους ὄ ρ π η κ α ς ἀνήγαγε κρινόμενον πῦρ.*

ὄρχις. Ὄρχις, testicle, Διογένης 6.41-43 *ἕτεραι δ' εἰσὶν αἱ ἀπὸ ἑκατέρας τείνουσαι διὰ τοῦ νωτιαίου μυελοῦ εἰς τοὺς ὄ ρ χ ε ι ς (sc. φλέβες) ... καὶ τελευτῶσιν εἰς τοὺς ὄ ρ χ ε ι ς τοῖς ἀνδράσι.*

ὅσιος. Ὅσιος/ἐξαγνισμένος, holy/purified, Ἐμπεδοκλῆς 3.2 *ἐκ δ' ὁ σ ί ω ν στομάτων καθαρὴν ὀχετεύσατε πηγήν.*

ὀσμᾶσθαι (τύπ. *ὀδμᾶσθαι*). Ὀσμίζομαι/ὀσφραίνομαι, smell, Ἡράκλειτος 98 *αἱ ψυχαὶ ὀ σ μ ῶ ν τ α ι καθ' Ἅιδην.* || Δημόκριτος 11.6 *μήτε ὁρῆν ἐπ' ἔλαττον μήτε ἀκούειν μήτε ὀ δ μ ᾶ σ θ α ι μήτε γεύεσθαι μήτε ἐν τῇ ψαύσει αἰσθάνεσθαι.*

ὀσμὴ (τύπ. *ὀδμή*) **1.** Ὀσμὴ/μυρωδιά, scent/perfume, Ξενοφάνης 1.7 *ἐν δὲ μέσοισ' ἁγνὴν ὀ δ μ ὴ ν λιβανωτὸς ἵησι* 3.6 *ἁβροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν ... ἀσκητοῖσ' ὀ δ μ ὴ ν χρίμασι δευόμενοι* Ἐμπεδοκλῆς 102 *ὧδε μὲν οὖν πνοιῆς τε λε-*

Ακαδημία Αθηνών / Academy of Athens

λόγχασι πάντα καὶ ὀ σ μ ῶ ν Δημόκριτος A 135 (DK II 123,6) τὸ λεπτὸν ἀπορρέον ἀπὸ τῶν βαρέων ποιεῖ τὴν *ὀ δ μ ὴ ν* **2.** Ὄσφρηση, sense of smelling, Δημόκριτος 11.3 *γνώμης δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γνησίη, ἡ δὲ σκοτίη· καὶ σκοτίης μὲν τάδε σύμπαντα, ὄψις, ἀκοή, ὀ δ μ ή, γεῦσις, ψαῦσις.* Πρβλ. *δαιδαλέοδμος.*

ὀστοῦν. Ὀστοῦν/κόκκαλο, bone, Ἐμπεδοκλῆς 96.3 *τὰ δ' ὀ σ τ έ α λευκὰ γένοντο Ἁρμονίης κόλλῃσιν ἀρηρότα θεσπεσίηθεν.*

οὐ. Ὄχι/μή, no/not, Ἡράκλειτος 10 *συνάψιες ὅλα καὶ ο ὐ χ ὅλα.* || **οὐκ ἐόν.** Τὸ μὴ ὄν, not-being, Παρμενίδης 8.46 *οὔτε γὰρ ο ὐ κ ἐ ὸ ν* Μέλισσος 7(2)-(5) *εἰ γὰρ ἑτεροιοῦται, ἀνάγκη τὸ ἐὸν μὴ ὁμοῖον εἶναι, ἀλλὰ ἀπόλλυσθαι τὸ πρόσθεν ἐόν, τὸ δὲ ο ὐ κ ἐ ὸ ν γίνεσθαι ... οὐδ' ἂν τὸ ὑγιὲς ἀλγῆσαι δύναιτο· ἀπὸ γὰρ ἂν ὄλοιτο τὸ ὑγιὲς καὶ τὸ ἐόν, τὸ δὲ ο ὐ κ ἐ ὸ ν γένοιτο* 8(6) *ἦν δὲ μεταπέση, τὸ μὲν ἐὸν ἀπώλετο, τὸ δὲ ο ὐ κ ἐ ὸ ν γέγονεν.* Πρβλ. *μή.*

οὐδαμὰ 1. Μὲ κανένα τρόπο, in no way, Μέλισσος 1 *εἰ τοίνυν μηδὲν ἦν, ο ὐ δ α μ ὰ ἂν γένοιτο οὐδὲν ἐκ μηδενὸς* **2.** Οὐδόλως, not at all, Ἐμπεδοκλῆς 12.1 *ἔκ τε γὰρ ο ὐ δ ά μ' ἐόντος ἀμήχανόν ἐστι γενέσθαι* **3.** Οὐδέποτε, never, Ἐμπεδοκλῆς 17.6-12 *καὶ ταῦτ' ἀλλάσσοντα διαμπερὲς ο ὐ δ α μ ὰ λήγει ... ᾗ δὲ διαλλάσσοντα διαμπερὲς ο ὐ δ α μ ὰ λήγει* 26.11 *ᾗ δὲ τάδ' ἀλλάσσοντα διαμπερὲς ο ὐ δ α μ ὰ λήγει.*

οὐδαμῇ 1. Πουθενά, nowhere, Μέλισσος 7(7) *ὑποχωρῆσαι γὰρ οὐκ ἔχει ο ὐ δ α μ ῇ* **2.** Μὲ κανένα τρόπο, in no way, Διογένης 2.7 *καὶ μὴ τὸ αὐτὸ ἐὸν μετέπιπτε πολλαχῶς καὶ ἑτεροιοῦτο, ο ὐ δ α μ ῇ οὔτε μίσγεσθαι ἀλλήλοις ἠδύνατο.*

οὐδαμῶς. Οὐδαμῶς, by no means, Φιλόλαος 11.24 *ψεῦδος δὲ ο ὐ δ α μ ῶ ς ἐς ἀριθμὸν ἐπιπνεῖ.*

οὖδας. Ἔδαφος/κατώφλι, ground/floor, Ἐμπεδοκλῆς 52 *πολλὰ δ' ἔνερθ(ε) ο ὖ δ ε ο ς πυρὰ καίεται* 115.10 *πόντος δ' ἐς χθονὸς ο ὖ δ α ς ἀπέπτυσε* 128.7 *ξανθῶν τε σπονδὰς μελίτων ῥίπτοντες ἐς ο ὖ δ α ς.*

οὐδείς - οὐδὲν (τύπ. *οὐθέν*) **1.** Κανένας/τίποτε, no one/noth-

Ακαδημία Αθηνών / Academy of Athens

ing, Ἡράκλειτος 108 *ὁκόσων λόγους ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον* Παρμενίδης 6.4 *πρώτης γάρ σ' ἀφ' ὁδοῦ ταύτης διζήσιος ⟨εἶργω⟩, αὐτὰρ ἔπειτ' ἀπὸ τῆς, ἣν δὴ βροτοὶ εἰδότες οὐδὲν πλάττονται* 8.36 *οὐδὲν γὰρ ⟨ἢ⟩ ἔστιν ἢ ἔσται ἄλλο πάρεξ τοῦ ἐόντος* Μέλισσος 1.3 *εἰ τοίνυν μηδὲν ἦν, οὐδαμὰ ἂν γένοιτο οὐδὲν ἐκ μηδενός* 4 *ἀρχήν τε καὶ τέλος ἔχον οὐδὲν οὔτε ἀίδιον οὔτε ἄπειρόν ἐστιν* 7(7) *οὐδὲ κενεόν ἐστιν οὐδὲν* 8(5) *τοῦ γὰρ ἐόντος ἀληθινοῦ κρεῖσσον οὐδὲν* Ἐμπεδοκλῆς 8.1 *φύσις οὐδενὸς ἔστιν ἁπάντων θνητῶν, οὐδέ τις οὐλομένου θανάτοιο τελευτή, ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων ἔστι* 100.12 *οὐδεὶς ἄγγοσδ' ὅμβρος ἐσέρχεται* Φιλόλαος 6.4 *οὐχ οἷόν τ' ἦν οὐθὲν τῶν ἐόντων καὶ γιγνωσκομένων ὑφ' ἁμῶν γα γενέσθαι μὴ ὑπαρχούσας τᾶς ἑστοῦς τῶν πραγμάτων* Ἀναξαγόρας 4.19 *οὐδὲ γὰρ τῶν ἄλλων οὐδὲν ἔοικε τὸ ἕτερον τῷ ἑτέρῳ* 9.4 *ἡ δὲ ταχυτὴς αὐτῶν οὐδενὶ ἔοικε χρήματι τὴν ταχυτῆτα τῶν νῦν ἐόντων χρημάτων* 12.2 *νοῦς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμεικται οὐδενὶ χρήματι, ἀλλὰ μόνος αὐτὸς ἐπ' ἐωυτοῦ ἐστιν* 17.2 *οὐδὲν γὰρ χρῆμα γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται* Λεύκιππος 2 *οὐδὲν χρῆμα μάτην γίνεται, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης* Δημόκριτος 7 *ἐτεῇ οὐδὲν ἴσμεν περὶ οὐδενός, ἀλλ' ἐπιρυσμίη ἑκάστοισιν ἡ δόξις* 9 *ἡμεῖς δὲ τῷ μὲν ἐόντι οὐδὲν ἀτρεκὲς συνίεμεν* 117 *ἐτεῇ δὲ οὐδὲν ἴδμεν· ἐν βυθῷ γὰρ ἡ ἀλήθεια* 152 *διόβλητον μὲν οὐδὲν ... ⟨οἷον μὴ τὸ⟩ παρ' αἰθρίης στέγειν ⟨εὐαγὲς⟩ σέλας* 266.3 *οὐδενὶ γὰρ ἄλλῳ ἔοικεν ἢ ἑωυτῷ* **2.** Τίποτε/τὸ μηδέν, nothing/nothingness, Ζήνων 2.4-7 *καὶ οὕτως ἂν ἤδη τὸ προσγινόμενον οὐδὲν εἴη ... δῆλον ὅτι τὸ προσγενόμενον οὐδὲν ἦν οὐδὲ τὸ ἀπογενόμενον* Μέλισσος 7(7) *τὸ γὰρ κενεὸν οὐδέν ἐστιν* Ἐμπεδοκλῆς 15.4 *πρὶν δὲ πάγεν τε βροτοὶ καὶ ⟨ἐπεὶ⟩ λύθεν, οὐδὲν ἄρ' εἰσιν* Δημόκριτος A 37 (DK II 93,24) προσαγορεύει δὲ (sc. Δημόκριτος) τὸν μὲν τόπον τοῖσδε τοῖς ὀνόμασι τῷ τε *κενῷ* καὶ τῷ *οὐδενὶ* καὶ τῷ *ἀπείρῳ*, τῶν δὲ οὐσιῶν ἑκάστην τῷ τε *δενὶ* καὶ τῷ *ναστῷ* καὶ τῷ *ὄντι*. Πρβλ. *μηδέν*, *κενόν*, *δέν*, *ναστόν*, *ἄτομον* **3.** Οὐδόλως/καθόλου, not at all, Ξενοφάνης 26.1 *αἰεὶ δ' ἐν ταὐτῷ μίμνει (sc. ὁ θεός) κινούμενος οὐδὲ ἦν* Ζήνων 2.1-3 *εἰ γὰρ*

Ακαδημία Αθηνών / Academy of Athens

ἄλλῳ ὄντι ... προσγένοιτο, οὐδὲν ἂν μεῖζον ποιήσειεν· μεγέθους γὰρ μηδενὸς ὄντος, προσγενομένου δέ, οὐδὲν οἷόν τε εἰς μέγεθος ἐπιδοῦναι Φιλόλαος 6.11 *τὰ μὲν ὦν ὁμοῖα καὶ ὁμόφυλα ἁρμονίας οὐδὲν ἐπεδέοντο* Ἀναξαγόρας 4.18 *σπερμάτων ἀπείρων πλῆθος οὐδὲν ἐοικότων ἀλλήλοις* 5 *πάντα οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ πλείω* Δημόκριτος 187.4 *ψυχῆς μὲν γὰρ τελεότης σκήνεος μοχθηρίην ὀρθοῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησιν* Ἀρχύτας 1.2 *οὐθὲν ἄτοπον ὀρθῶς αὐτούς, οἷά ἐντι, περὶ ἑκάστων φρονέειν.* Πρβλ. *εἷς, μηδείς.*

οὐδός. Κατώφλι, threshold, Παρμενίδης 1.12 *ἔνθα πύλαι Νυκτός τε καὶ Ἤματός εἰσι κελεύθων, καί σφας ὑπέρθυρον ἀμφὶς ἔχει καὶ λάινος οὐδός.*

οὐλομελής. Μονομελὴς/μονοκόματος, whole-membered/integral, Παρμενίδης 8.4 *ἔστι γὰρ οὐλομελές τε καὶ ἀτρεμὲς ἠδ' ἀτέλεστον* Ἐμπεδοκλῆς 8.2 *οὐλομένου θανάτοιο τελευτὴ* 17.19 *Νεῖκός τ' οὐλόμενον δίχα τῶν, ἀτάλαντον ἁπάντῃ.*

οὐλοφυής. Ὁλόπλαστος/ἀδιαφοροποίητος, wholly-natured/undifferentiated, Ἐμπεδοκλῆς 62.4 *οὐλοφυεῖς μὲν πρῶτα τύποι χθονὸς ἐξανέτελλον.*

οὐράνιος. Οὐράνιος/τοῦ οὐρανοῦ, heavenly/of heaven, Παρμενίδης 11.2 *αἰθήρ τε ξυνὸς γάλα τ' οὐράνιον* Φιλόλαος 11.3 *παντοεργὸς καὶ θείῳ καὶ οὐρανίῳ βίῳ καὶ ἀνθρωπίνῳ* Δημόκριτος 11b (τίτλ.) *Αἰτίαι οὐράνιαι.*

Οὐρανογραφίη. Οὐρανογραφία/πραγματεία περὶ Οὐρανοῦ, treatise on the heavens, Δημόκριτος 14b (τίτλ.) *Οὐρανογραφίη.* Πρβλ. *Πολογραφίη.*

οὐρανὸς 1. Οὐρανός, heaven, Παρμενίδης 10.5 *εἰδήσεις δὲ καὶ οὐρανὸν ἀμφὶς ἔχοντα* Ἐμπεδοκλῆς 41 *ἀλλ' ὁ μὲν (sc. ἥλιος) ἁλισθεὶς μέγαν οὐρανὸν ἀμφιπολεύει* Ἀρχύτας A 24 (DK I 430,42) *ἐν τῷ ἐσχάτῳ οἷον τῷ ἀπλανεῖ οὐρανῷ γενόμενος πότερον ἐκτείναιμι ἂν τὴν χεῖρα ἢ τὴν ῥάβδον εἰς τὸ ἔξω ἢ οὔ;*

Ακαδημία Αθηνών / Academy of Athens

2. Ὁ χῶρος μεταξὺ γῆς καὶ σελήνης, space between earth and moon, Φιλόλαος A 16 (DK I 403,23) τὸ δ' ὑπὸ τούτοις ὑποσέληνόν τε καὶ περίγειον μέρος, ἐν ᾧ τὰ τῆς φιλομεταβόλου γενέσεως, *ο ὐ ρ α ν ό ν*. Πρβλ. *ὄλυμπος*, *κόσμος* **3.** Ἀέρας, air, Ἐμπεδοκλῆς 22.2 *ἠλέκτωρ τε χθών τε καὶ ο ὐ ρ α ν ὸ ς ἠδὲ θάλασσα.*

οὖς. Αὐτὶ/ἀκοή, ear/hearing, Ἡράκλειτος 101a *ὀφθαλμοὶ γὰρ τῶν ὤ τ ω ν ἀκριβέστεροι μάρτυρες* 107 *κακοὶ μάρτυρες ἀνθρώποισιν ὀφθαλμοὶ καὶ ὦ τ α βαρβάρους ψυχὰς ἐχόντων* Διογένης 6.31 *ἀφ' ἑκατέρας δ' αὐτῶν (*sc. *τῶν φλεβῶν), ᾗ τελευτᾷ, σχίζονται εἰς τὴν κεφαλὴν πολλαί, αἱ μὲν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερά, αἱ δ' ἐκ τῶν ἀριστερῶν εἰς τὰ δεξιά· τελευτῶσι δὲ παρὰ τὸ ο ὖ ς ἑκάτεραι.*

οὐσία (συνών. *φύσις*). Οὐσία, substance, Φιλόλαος 11.1-11 *θεωρεῖν δεῖ τὰ ἔργα καὶ τὴν ο ὐ σ ί α ν τῷ ἀριθμῷ καττὰν δύναμιν ἅτις ἐστὶν ἐν τᾷ δεκάδι ... εἰ μὴ ἧς ἀριθμὸς καὶ ἁ τούτω ο ὐ σ ί α.*

ὀφθαλμός (συνών. *ὄμμα*). Μάτι, eye, Ἡράκλειτος 101a *ὀ φ θ α λ μ ο ὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες* 107 *κακοὶ μάρτυρες ἀνθρώποισιν ὀ φ θ α λ μ ο ὶ καὶ ὦτα βαρβάρους ψυχὰς ἐχόντων* Ἐμπεδοκλῆς 133.1 *οὐκ ἔστιν πελάσασθαι ἐν ὀ φ θ α λ μ ο ῖ σ ι ν ἐφικτὸν ἡμετέροις ἢ χερσὶ λαβεῖν.* Πρβλ. *ὄψις.*

ὀχεῖν. Φέρω/χειρίζομαι, bear/handle, Δημόκριτος 173.3 *ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ 'πιστῆται ποδηγετεῖν μηδὲ ὀ χ ε ῖ ν εὐπόρως.* Πρβλ. *ἔχειν.*

ὀχεύς. Σύρτης, loft/bar, Παρμενίδης 1.16 *τὴν δὴ παρφάμεναι κοῦραι μαλακοῖσι λόγοισιν πεῖσαν ἐπιφραδέως, ὥς σφιν βαλανωτὸν ὀ χ ῆ α ἀπτερέως ὤσειε πυλέων ἄπο.*

ὄχλησις (συνών. *ταραχή*). Ἐνόχληση/διαταραχή, trouble/disturbance, Δημόκριτος 212 *ἡμερήσιοι ὕπνοι σώματος ὄ χ λ η σ ι ν ἢ ψυχῆς ἀδημοσύνην ἢ ἀργίην ἢ ἀπαιδευσίην σημαίνουσι.*

ὄψ (συνών. *ὄψις*). Ὄψη/βλέμμα, sight/look, Ἐμπεδοκλῆς 88 *μία γίγνεται ἀμφοτέρων ὄ ψ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὀψίγονος. Ὄψιμος, late-ripening, Ἐμπεδοκλῆς 80 *οὕνεκεν ὀ ψ ί γ ο ν ο ί τε σίδαι καὶ ὑπέρφλοια μῆλα.*

ὄψιος. Ὄψιμος, late, Μενέστωρ 4 ἡ μὲν *βλάστησις αὐτῆς (sc. τῆς συκαμίνου) ὀ ψ ί α* διὰ *τὴν ψυχρότητα τοῦ τόπου.*

ὄψις (συνών. *ὄψ*) **1.** Ὄψη/θωριά, sight, Ἐμπεδοκλῆς 64 *τῷ δ' ἐπὶ καὶ πόθος εἶσι δι' ὄ ψ ι ο ς ἀμμιμνήσκων (?)* Ἀναξαγόρας 21a *ὄ ψ ι ς γὰρ τῶν ἀδήλων τὰ φαινόμενα* **2.** Ὄψη/ὅραση, vision, Ἡράκλειτος 55 *ὅσων ὄ ψ ι ς ἀκοὴ μάθησις, ταῦτα ἐγὼ προτιμέω* Ἐμπεδοκλῆς 3.10 *μήτε τιν' ὄ ψ ι ν ἔχων πίστει πλέον ἢ κατ' ἀκουὴν* Δημόκριτος 11.3 *σκοτίης (sc. γνώμης) μὲν τάδε σύμπαντα, ὄ ψ ι ς, ἀκοή, ὀδμή, γεῦσις, ψαῦσις.* || **ὄψεις.** Ὀφθαλμοὶ/μάτια, eyes, Ἡράκλειτος 26 *ἄνθρωπος ἐν εὐφρόνῃ φάος ἅπτεται ἑαυτῷ ... ἀποσβεσθεὶς ὄ ψ ε ι ς.* Πρβλ. *ὄμμα, ὀφθαλμός.*

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Π

πάθος. Πάθος, passion, Δημόκριτος 31 *ἰατρικὴ μὲν ... σώματος νόσους ἀκέεται, σοφίη δὲ ψυχὴν π α θ ῶ ν ἀφαιρεῖται.* Πρβλ. *ἐπιθυμία, ὄρεξις.*

παιδεία. Παιδεία/μόρφωση, education, Δημόκριτος 180 *ἡ π α ι δ ε ί α εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον.* Πρβλ. *παιδεύειν.*

παιδεύειν. Παιδεύω/ἐκπαιδεύω, educate, Δημόκριτος 178 *πάντων κάκιστον ἡ εὐπετείη π α ι δ ε ῦ σ α ι τὴν νεότητα· αὕτη γάρ ἐστιν ἣ τίκτει τὰς ἡδονὰς ταύτας, ἐξ ὧν ἡ κακότης γίνεται* 280 *ἔξεστιν οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας π α ι δ ε ῦ σ α ί τε τοὺς παῖδας καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν.* || **οἱ πεπαιδευμένοι** (ἀντίθ. *οἱ ἀμαθεῖς*). Οἱ μορφωμένοι/οἱ καλλιεργημένοι, the educated/the cultured, Δημόκριτος 185 *κρέσσονές εἰσιν αἱ τῶν π ε π α ι δ ε υ μ έ ν ω ν ἐλπίδες ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος.*

παίζειν. Παίζω, play, Ἡράκλειτος 52 *αἰὼν παῖς ἐστι π α ί ζ ω ν, πεσσεύων· παιδὸς ἡ βασιληίη* Ἐμπεδοκλῆς 100.9 *παῖς κλεψύδρῃ π α ί ζ ο υ σ α διειπετέος χαλκοῖο.*

παῖς (ἀντίθ. *ἀνήρ, πατήρ*). Παιδί, child, Ἡράκλειτος 20 *γενόμενοι ζώειν ἐθέλουσι ... καὶ π α ῖ δ α ς καταλείπουσι μόρους γενέσθαι* 52 *αἰὼν π α ῖ ς ἐστι παίζων, πεσσεύων· π α ι δ ὸ ς ἡ βασιληίη* 56 *ἐκεῖνόν τε γάρ (sc. τὸν Ὅμηρον) π α ῖ δ ε ς φθεῖρας κατακτείνοντες ἐξηπάτησαν* 70 *π α ί δ ω ν ἀθύρματα* 74 *π α ῖ δ α ς τοκεώνων* 79 *ἀνὴρ νήπιος ἤκουσε πρὸς δαίμονος ὅκωσπερ π α ῖ ς πρὸς ἀνδρὸς* 117 *ἀνὴρ ὁκόταν μεθυσθῇ, ἄγεται ὑπὸ π α ι δ ὸ ς ἀνήβου σφαλλόμενος* Ἐμπεδοκλῆς 100.8 *ὥσπερ ὅταν π α ῖ ς κλεψύδρῃ παίζουσα διειπετέος χαλκοῖο* 137.5 *πατέρ' υἱὸς ἑλὼν καὶ μητέρα π α ῖ δ ε ς θυμὸν ἀπορραίσαντε φίλας κατὰ σάρκας ἔδου-*

Ακαδημία Αθηνών / Academy of Athens

σιν Δημόκριτος 70 *π α ι δ ό ς, οὐκ ἀνδρὸς τὸ ἀμέτρως ἐπιθυμεῖν* 179 *μὴ πονεῖν π α ῖ δ ε ς ἀνιέντες οὔτε γράμματ' ἂν μάθοιεν οὔτε μουσικὴν οὔτε ἀγωνίην* 228.1 *οἱ τῶν φειδωλῶν π α ῖ δ ε ς ἀμαθέες γινόμενοι ... ἀπόλλυνται* 276 *οὐ δοκεῖ μοι χρῆναι π α ῖ δ α ς κτᾶσθαι· ἐνορῶ γὰρ ἐν π α ί δ ω ν κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα* 277 *ὅτεῳ χρήμη τεά ἐστι π α ῖ δ α ποιήσασθαι, ἐκ τῶν φίλων τεύ μοι δοκεῖ ἄμεινον εἶναι. καὶ τῷ μὲν π α ῖ ς ἔσται τοιοῦτος, οἷον ἂν βούληται ... ἐνταῦθα μὲν ἔστι τὸν π α ῖ δ α λαβεῖν καταθύμιον ἐκ πολλῶν, οἷον ἂν δέῃ* 278 *ἀνθρώποισι τῶν ἀναγκαίων δοκεῖ εἶναι π α ῖ δ α ς κτήσασθαι ἀπὸ φύσιος καὶ καταστάσιός τινος ἀρχαίης* 279 *τοῖς π α ι σ ὶ μάλιστα χρὴ τῶν ἀνυστῶν δατεῖσθαι τὰ χρήματα* 280 *ἔξεστιν οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς π α ῖ δ α ς καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν.*

παλαιός (ἀντίθ. *νέος*). Παλαιὸς/ἀρχαῖος, old/ancient, Ἐμπεδοκλῆς 115.1 *ἔστιν Ἀνάγκης χρῆμα, θεῶν ψήφισμα π α λ α ι ό ν, ἀίδιον, πλατέεσσι κατεσφρηγισμένον ὅρκοις* Φιλόλαος 14 *μαρτυρέονται δὲ καὶ οἱ π α λ α ι ο ὶ θεολόγοι τε καὶ μάντιες.*

παλάμη 1. Παλάμη/χέρι, palm/hand, Ἐμπεδοκλῆς 75.2 *τῶν δ' ὅσ' ἔσω μὲν πυκνά, τὰ δ' ἔκτοθι μανὰ πέπηγε, Κύπριδος ἐν π α λ ά μ η σ ι πλάδης τοιῆσδε τυχόντα* 95 *Κύπριδος ... ἐν π α λ ά μ η σ ι ν ὅτε ξὺμ πρῶτ' ἐφύοντο* **2.** Δύναμη ἀντιλήψεως/αἰσθητήριο ὄργανο, perceptiveness/sensory organ, Ἐμπεδοκλῆς 2.1 *στεινωποὶ μὲν γὰρ π α λ ά μ α ι κατὰ γυῖα κέχυνται· πολλὰ δὲ δείλ' ἔμπαια, τά τ' ἀμβλύνουσι μέριμνας.* || Ἐμπεδοκλῆς 3.9 *ἀλλ' ἄγ' ἄθρει πάσῃ π α λ ά μ η, πῇ δῆλον ἕκαστον, μήτε τιν' ὄψιν ἔχων πίστει πλέον ἢ κατ' ἀκουὴν ἢ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης, μήτε τι τῶν ἄλλων.*

παλίνορσος. Παλίνδρομος, going back, Ἐμπεδοκλῆς 35.1 *αὐτὰρ ἐγὼ π α λ ί ν ο ρ σ ο ς ἐλεύσομαι ἐς πόρον ὕμνων* 100.23 *αἷμα ... π α λ ί ν ο ρ σ ο ν ἀπαΐξειε μυχόνδε.*

παλίντιτος. Ἐπανορθωτικὸς/ἰσορροποιητικός, restoring/balancing, Ἐμπεδοκλῆς 111.5 *παύσεις δ' ἀκαμάτων ἀνέμων μένος*

Ακαδημία Αθηνών / Academy of Athens

οἵ τ' ἐπὶ γαῖαν ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἀρούρας· καὶ πάλιν, ἣν ἐθέλῃσθα, π α λ ί ν τ ι τ α πνεύματ(α) ἐπάξεις.

παλίντροπος. Παλίντροπος/παλίρροπος, turning back on oneself, Ἡράκλειτος 51 *π α λ ί ν τ ρ ο π ο ς ἁρμονίη ὅκωσπερ τόξου καὶ λύρης* Παρμενίδης 6.9 *πάντων δὲ π α λ ί ν τ ρ ο π ό ς ἐστι κέλευθος.* Πρβλ. *παλίνορσος.*

πάμπαν (συνών. *παντάπασι*). Ὁλωσδιόλου, wholly, Παρμενίδης 8.11 *οὕτως ἢ π ά μ π α ν πελέναι χρεών ἐστιν ἢ οὐχί* Ἐμπεδοκλῆς 28.1 *ἀλλ' ὅ γε πάντοθεν ἶσος ⟨ἑοῖ⟩ καὶ π ά μ π α ν ἀπείρων Σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέι γαίων* 140 *δάφνης φύλλων ἄπο π ά μ π α ν ἔχεσθαι.*

παμφανόων. Πάμφωτος/ὁλόλαμπρος, all-shining/all-bright, Ἐμπεδοκλῆς 98.2 *Ἡφαίστῳ τ' ὄμβρῳ τε καὶ αἰθέρι π α μ φ α ν ό ω ν τ ι.*

παναπευθής. Ὁλωσδιόλου μὴ ποριστικὸς γνώσεως, wholly non-supplying of knowledge, Παρμενίδης 2.6 *τὴν δή τοι φράζω π α ν α π ε υ θ έ α ἔμμεν ἀταρπόν.* Πρβλ. *ἀνεξερεύνητος.*

πάνδειλος. Πανάθλιος/δυστυχισμένος, most wretched/miserable, Ἐμπεδοκλῆς 141 *δειλοί, π ά ν δ ε ι λ ο ι, κυάμων ἄπο χεῖρας ἔχεσθαι.* Πρβλ. *δειλός, δυσάνολβος.*

παντάπασι (συνών. *πάμπαν*). Ὁλωσδιόλου/ἐντελῶς, wholly/entirely, Ἀναξαγόρας 12.25 *π α ν τ ά π α σ ι δὲ οὐδὲν ἀποκρίνεται οὐδὲ διακρίνεται ἕτερον ἀπὸ τοῦ ἑτέρου πλὴν νοῦ.*

παντελής. Παντελὴς/ὁλοκληρωμένος, perfect/completed, Φιλόλαος 11.2 *μεγάλα γὰρ καὶ π α ν τ ε λ ὴ ς καὶ παντοεργὸς καὶ θείῳ καὶ οὐρανίῳ βίῳ καὶ ἀνθρωπίνῳ ἀρχὰ καὶ ἀγεμών.*

πάντῃ (τύπ. *παντᾶ*) **1.** Παντοῦ/ὁλόγυρα, everywhere, Ξενοφάνης 1.11 *βωμὸς δ' ἄνθεσιν ἀν τὸ μέσον π ά ν τ ῃ πεπύκασται* **2.** Παντοῦ/πρὸς ὅλες τὶς κατευθύνσεις, everywhere/towards all directions, Παρμενίδης 8.44 *εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ, μεσσόθεν ἰσοπαλὲς π ά ν τ ῃ* **3.** Ὁλωσδιόλου, completely, Ἐμπε-

Ακαδημία Αθηνών / Academy of Athens

δοκλῆς 22.8 *π ά ν τ ῃ συγγίνεσθαι ἀήθεα καὶ μάλα λυγρά.* || **πάντῃ πάντως.** Μὲ οἱονδήποτε τρόπο, by whatever means, Παρμενίδης 4.3 *οὔτε σκιδνάμενον π ά ν τ ῃ π ά ν τ ω ς κατὰ κόσμον οὔτε συνιστάμενον* **4.** Παντοῦ/σὲ ὅλες τὶς περιοχές, everywhere, Φιλόλαος 11.19 *ἐν τοῖς ἀνθρωπικοῖς ἔργοις καὶ λόγοις πᾶσι π α ν τ ᾶ.*

παντοεργός. Παντοεργός, all-achieving, Φιλόλαος 11.3 *μεγάλα γὰρ καὶ παντελὴς καὶ π α ν τ ο ε ρ γ ὸ ς καὶ θείω καὶ οὐρανίω βίω καὶ ἀνθρωπίνω ἀρχὰ καὶ ἁγεμών.*

πάντοθεν. Ἀπὸ παντοῦ, from everywhere, Παρμενίδης 8.43-49 *αὐτὰρ ἐπεὶ πεῖρας πύματον, τετελεσμένον ἐστὶ π ά ν τ ο θ ε ν ... οἱ γὰρ π ά ν τ ο θ ε ν ἴσον, ὁμῶς ἐν πείρασι κύρει* Ἐμπεδοκλῆς 28.1 *ἀλλ' ὅ γε π ά ν τ ο θ ε ν ἶσος ⟨ἑοῖ⟩ καὶ πάμπαν ἀπείρων Σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέι γαίων* 29.3 *σφαῖρος ἔην καὶ ⟨π ά ν τ ο θ ε ν⟩ ἶσος ἑαυτῷ.*

παντοῖος. Παντοῖος/κάθε λογῆς, of all sorts/of every kind, Ἐμπεδοκλῆς 35.17 *π α ν τ ο ί α ι ς ἰδέῃσιν ἀρηρότα, θαῦμα ἰδέσθαι* 84.3 *ἅψας π α ν τ ο ί ω ν ἀνέμων λαμπτῆρας ἀμοργοὺς* 112.11 *οἱ δ' ἐπὶ νούσων π α ν τ ο ί ω ν ἐπύθοντο κλυεῖν εὐηκέα βάξιν* 115.7 *φυομένους π α ν τ ο ῖ α διὰ χρόνου εἴδεα θνητῶν ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους* 129.3 *π α ν τ ο ί ω ν τε μάλιστα σοφῶν ⟨τ'⟩ ἐπιήρανος ἔργων* Ἀναξαγόρας 4.3 *καὶ σπέρματα πάντων χρημάτων καὶ ἰδέας π α ν τ ο ί α ς ἔχοντα καὶ χροιὰς καὶ ἡδονὰς* Δημόκριτος 21 *Ὅμηρος φύσεως λαχὼν θεαζούσης ἐπέων κόσμον ἐτεκτήνατο π α ν τ ο ί ω ν* 167 *δῖνον ἀπὸ τοῦ παντὸς ἀποκριθῆναι π α ν τ ο ί ω ν ἰδεῶν.* || Ἀναξαγόρας 4.2-9 *χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ π α ν τ ο ῖ α ἐν πᾶσι τοῖς συγκρινομένοις ... τὴν γῆν αὐτοῖσι φύειν πολλά τε καὶ π α ν τ ο ῖ α.*

πάντοσε. Πρὸς ὅλες τὶς κατευθύνσεις, towards all directions, Παρμενίδης 8.57 *ἑωυτῷ π ά ν τ ο σ ε τωὐτόν, τῷ δ' ἑτέρῳ μὴ τωὐτὸν* Ἐμπεδοκλῆς 2.6 *αὐτὸ μόνον πεισθέντες, ὅτῳ προσέκυρσεν ἕκαστος π ά ν τ ο σ' ἐλαυνόμενοι.*

πάντως. Πάντως/ὁλωσδιόλου, entirely/thoroughly, Ἀναξα-

Ακαδημία Αθηνών / Academy of Athens

γόρας 9.5 *ἀλλὰ π ά ν τ ω ς πολλαπλασίως ταχύ ἐστι.* || **πάντῃ πάντως.** Βλ. **πάντῃ.**

παπταίνειν. Προσβλέπω/ἀτενίζω, look fixedly on/gaze steadily, Παρμενίδης 15 *αἰεὶ π α π τ α ί ν ο υ σ α πρὸς αὐγὰς ἠελίοιο.*

παραβάλλειν. Παραβάλλω/συγκρίνω, compare, Δημόκριτος 191.19 *π α ρ α β ά λ λ ο ν τ α τὸν ἑαυτοῦ βίον πρὸς τὸν τῶν φαυλότερον πρησσόντων.*

παράγγελμα. Παράγγελμα/δίδαγμα, precept/instruction, Δημόκριτος 208 *πατρὸς σωφροσύνη μέγιστον τέκνοις π α ρ ά γ γ ε λ μ α.*

παραγί(γ)νεσθαι. Ἔρχομαι/ἐπισυμβαίνω, come/occur, Δημόκριτος 108 *διζημένοισι τἀγαθὰ μόλις π α ρ α γ ί ν ε τ α ι, τὰ δὲ κακὰ καὶ μὴ διζημένοισιν.* || Ἀρχύτας 1.25 *τὰ μὲν οὖν ποτιπίπτοντα ποτὶ τὰν αἴσθασιν ἃ μὲν ἀπὸ τᾶν πλαγᾶν ταχὺ π α ρ α γ ί ν ε τ α ι καὶ ⟨ἰσχυρῶς⟩, ὀξέα φαίνεται.*

παραδιδόναι. Παραδίδω/κληροδοτῶ, hand over/bequeath, Ἀρχύτας 1.6 *περί τε δὴ τᾶς τῶν ἄστρων ταχυτᾶτος καὶ ἐπιτολᾶν καὶ δυσίων π α ρ έ δ ω κ α ν ἁμῖν σαφῆ διάγνωσιν καὶ περὶ γαμετρίας καὶ ἀριθμῶν καὶ σφαιρικᾶς.*

παραδύεσθαι. Εἰσδύω/εἰσχωρῶ, penetrate/enter into, Ἀρχύτας 1.21 *οὐ γὰρ π α ρ α δ ύ ε σ θ α ι ἐς τὰν ἀκοὰν ἁμῖν τὼς μεγάλως τῶν ψόφων, ὥσπερ οὐδ' ἐς τὰ σύστομα τῶν τευχέων, ὅκκα πολύ τις ἐγχέῃ, οὐδὲν ἐγχεῖται.* Πρβλ. *ἐγκαταβυσσοῦσθαι, εἰσκρίνεσθαι.*

παρακαταθήκη. Παρακαταθήκη, deposit, Δημόκριτος 265.3 *ὥσπερ ⟨γὰρ τὸν⟩ τὰς π α ρ α κ α τ α θ ή κ α ς ἀποδιδόντα οὐ χρὴ ἐπαινεῖσθαι, τὸν δὲ μὴ ἀποδιδόντα κακῶς ἀκούειν καὶ πάσχειν, οὕτω καὶ τὸν ἄρχοντα.*

παράλογα (τά). Τὰ παράλογα/παράδοξα, unreasonable/paradoxical (things), Δημόκριτος A 99a (DK II 108,20) *τὸν αὐτὸν*

Ακαδημία Αθηνών / Academy of Athens

τρόπον ... γενέσθαι καὶ τὰ θαυμαστὰ καὶ τὰ παραλογώτατα τῆς φύσεως.

παράπηγμα. Παράρτημα (μὲ ἀστρονομικὸ πίνακα), supplement (with an astronomy table), Δημόκριτος 11r (τίτλ.) *Μέγας ἐνιαυτὸς ἢ Ἀστρονομίη. Παράπηγμα.*

παραπλήσιος. Παραπλήσιος/παρόμοιος, similar, Διογένης 5.16 *ὅμοιον δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζῴων ἐστίν (ἐπεὶ οὐδὲ τῶν ἀνθρώπων ἀλλήλοις), ἀλλὰ διαφέρει μέγα μὲν οὔ, ἀλλ' ὥστε παραπλήσια εἶναι* Δημόκριτος 33 *ἡ φύσις καὶ ἡ διδαχὴ παραπλήσιόν ἐστι.* Πρβλ. *ὅμοιος.*

παραπλησίως. Παραπλήσια/παρόμοια, similarly/likewise, Ἡράκλειτος 56 *ἐξηπάτηνται ... οἱ ἄνθρωποι πρὸς τὴν γνῶσιν τῶν φανερῶν παραπλησίως Ὁμήρῳ.*

παρασκευάζειν. Προπαρασκευάζω/καθιστῶ, prepare/render, Δημόκριτος 240 *οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέρην παρασκευάζουσι.*

παρατιθέναι. Παραθέτω, serve/offer, Δημόκριτος 210 *τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.*

παρατρέπεσθαι. Ἀντιπαρέρχομαι/ἀποφεύγω νὰ πράξω, disregard/avoid acting, Δημόκριτος 256 *δίκη μέν ἐστιν ἔρδειν τὰ χρὴ ἐόντα, ἀδικίη δὲ μὴ ἔρδειν τὰ χρὴ ἐόντα, ἀλλὰ παρατρέπεσθαι.*

παραφυλάττειν. Παραφυλάω/ἐπιτηρῶ, keep guard/supervise, Δημόκριτος 87 *τὸν φαῦλον παραφυλάττειν δεῖ, μὴ καιροῦ λάβηται.*

παρεῖναι (ἀντίθ. *ἀπεῖναι*) **1.** Εἶμαι παρών, be present, Ἡράκλειτος 34 *ἀξύνετοι ἀκούσαντες κωφοῖσιν ἐοίκασι· φάτις αὐτοῖσι μαρτυρεῖ παρεόντας ἀπεῖναι* Παρμενίδης 4.1 *λεῦσσε δ' ὅμως ἀπεόντα νόῳ παρεόντα βεβαίως* Ἐμπεδοκλῆς 106 *πρὸς παρεὸν γὰρ μῆτις ἀέξεται ἀνθρώποισιν* **2.** Ὑπάρχω/εἶμαι στὴ διά-

Ακαδημία Αθηνών / Academy of Athens

θεση, exist/be at one's disposal, 'Εμπεδοκλῆς 110.3 *ταῦτά τέ σοι μάλα πάντα δι' αἰῶνος π α ρ έ σ ο ν τ α ι* Δημόκριτος 223 *ὧν τὸ σκῆνος χρῄζει, πᾶσι π ά ρ ε σ τ ι ν εὐμαρέως ἄτερ μόχθου καὶ ταλαιπωρίης.* || Δημόκριτος 191.7 *ἐπὶ τοῖς δυνατοῖς οὖν δεῖ ἔχειν τὴν γνώμην καὶ τοῖς π α ρ ε ο ῦ σ ι ν ἀρκέεσθαι* 202 *ἀνοήμονες τῶν ἀπεόντων ὀρέγονται, τὰ δὲ π α ρ ε ό ν τ α καὶ παρῳχημένων κερδαλεώτερα ἐόντα ἀμαλδύνουσιν* 224 *ἡ τοῦ πλέονος ἐπιθυμίη τὸ π α ρ ε ὸ ν ἀπόλλυσι τῇ Αἰσωπείῃ κυνὶ ἰκέλη γινομένη* **3.** Εἶναι δυνατὸν/συμβαίνει, it is possible/it happens, Δημόκριτος 164.4 *⟨ὡς⟩ δὲ καὶ ἐπὶ τῶν ἀψύχων, καθάπερ ὁρᾶν π ά ρ ε σ τ ι ν ἐπί τε τῶν κοσκινευομένων σπερμάτων καὶ ἐπὶ τῶν παρὰ ταῖς κυματωγαῖς ψηφίδων* 235.6 *τοῦτο μὲν γὰρ τὸ ἐπιθυμεῖν ἀεὶ τῶν αὐτῶν π ά ρ ε σ τ ι.*

παρεκτείνεσθαι. 'Αναμετριέμαι/ἐπιζητῶ νὰ παραβληθῶ, measure oneself with/aspire to be compared, Δημόκριτος 238 *τελευτᾷ γὰρ ἐς κακοδοξίην [κακὴν] ὁ π α ρ ε κ τ ε ι ν ό μ ε ν ο ς τῷ κρέσσονι.*

παρελαύνειν. Ξεπερνῶ/διαφεύγω, leave behind/escape notice, Παρμενίδης 8.61 *τόν σοι ἐγὼ διάκοσμον ἐοικότα πάντα φατίζω, ὡς οὐ μή ποτέ τίς σε βροτῶν γνώμη π α ρ ε λ ά σ σ ῃ.*

παρέχεσθαι. Παρέχω/παρουσιάζω, provide/present, Διογένης 1 *λόγου παντὸς ἀρχόμενον δοκεῖ μοι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον π α ρ έ χ ε σ θ α ι, τὴν δὲ ἑρμηνείαν ἁπλῆν καὶ σεμνήν.*

παριέναι. Διαβαίνω πλάι, pass by, Ξενοφάνης 7.2 *ποτέ μιν στυφελιζομένου σκύλακος π α ρ ι ό ν τ α.*

παρίέναι. 'Αντιπαρέρχομαι/παραμελῶ, let pass/neglect, Δημόκριτος 261 *ἀδικουμένοισι τιμωρεῖν κατὰ δύναμιν χρὴ καὶ μὴ π α ρ ῐ έ ν α ι.*

παρίστασθαι 1. Παρίσταμαι/ὑπάρχω, turn out to be/be present, Παρμενίδης 16.2 *ὡς γὰρ ἑκάστοτ' ἔχει κρᾶσις μελέων πολυπλάγκτων, τὼς νόος ἀνθρώποισι π α ρ ί σ τ α τ α ι* 'Εμπεδοκλῆς 108.2 *ὅσσον ⟨γ'⟩ ἀλλοῖοι μετέφυν, τόσον ἄρ σφισιν αἰεὶ*

Ακαδημία Αθηνών / Academy of Athens

καὶ τὸ φρονεῖν ἀλλοῖα π α ρ ί σ τ α τ α ι **2.** Παραστέκω/βοηθῶ, assist/help, Ἐμπεδοκλῆς 131.3 *εὐχομένῳ νῦν αὖτε π α ρ ί σ τ α σ ο, Καλλιόπεια.*

παροίχεσθαι. Φεύγω/περνῶ, leave/pass, Δημόκριτος 235.8 *διὰ ταχέος τε ἡ ἡδονὴ π α ρ ο ί χ ε τ α ι.* || **παρῳχημένον.** Περασμένο, past/gone, Δημόκριτος 202 *ἀνοήμονες τῶν ἀπεόντων ὀρέγονται, τὰ δὲ παρεόντα καὶ π α ρ ῳ χ η μ έ ν ω ν κερδαλεώτερα ἐόντα ἀμαλδύνουσιν.*

παρρησίη. Παρρησία/ἐλευθεροστομία, outspokenness/freedom of speech, Δημόκριτος 226 *οἰκήιον ἐλευθερίης π α ρ ρ η σ ί η, κίνδυνος δὲ ἡ τοῦ καιροῦ διάγνωσις.*

πᾶς 1. Ὅλοι/κάθε, all/every, Ξενοφάνης 2.10 *ταῦτά κε π ά ν τ α λάχοι —οὐκ ἐὼν ἄξιος ὥσπερ ἐγὼ* 10 *ἐπεὶ μεμαθήκασι π ά ν τ ε ς* 33 *π ά ν τ ε ς γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα* Παρμενίδης 1.3 *ἣ κατὰ π ά ν τ' ἄστη φέρει εἰδότα φῶτα* 8.33 *[μὴ] ἐὸν δ' ἂν π α ν τ ὸ ς ἐδεῖτο* 8.38 *τῷ π ά ν τ' ὄνομ(α) ἔσται, ὅσσα βροτοὶ κατέθεντο πεποιθότες εἶναι ἀληθῆ* 10.1 *εἶσῃ δ' αἰθερίαν τε φύσιν τὰ τ' ἐν αἰθέρι π ά ν τ α σήματα* 16.4 *τὸ γὰρ αὐτὸ ἔστιν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισιν καὶ π ᾶ σ ι ν καὶ π α ν τ ὶ* Μέλισσος 8(3) *καὶ ἄλλο ὅ τι ἰσχυρὸν δοκεῖ εἶναι π ᾶ ν* Ἐμπεδοκλῆς 2.6 *τὸ δ' ὅλον ⟨π ᾶ ς⟩ εὔχεται εὑρεῖν* 22.1 *ἄρθμια μὲν γὰρ ταῦτα ἑαυτῶν π ά ν τ α μέρεσσιν* 31 *π ά ν τ α γὰρ ἐξείης πελεμίζετο γυῖα θεοῖο* 35.5 *ἐν τῇ δὴ τάδε π ά ν τ α συνέρχεται ἓν μόνον εἶναι, οὐκ ἄφαρ, ἀλλὰ θελημὰ συνιστάμεν' ἄλλοθεν ἄλλα* 110.3 *ταῦτά τέ σοι μάλα π ά ν τ α δι' αἰῶνος παρέσονται* 111.2 *φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ πεύσῃ, ἐπεὶ μούνῳ σοὶ ἐγὼ κρανέω τάδε π ά ν τ α* 129.4-5 *ὁππότε γὰρ π ά σ η σ ι ν ὀρέξαιτο παπίδεσσιν, ῥεῖ' ὅ γε τῶν ὄντων π ά ν τ ω ν λεύσσεσκεν ἕκαστον* Ἵππων 1 *τὰ γὰρ ὕδατα πινόμενα π ά ν τ α ἐκ τῆς θαλάσσης ἐστὶν ... ὅσα οὖν καθύπερθεν τῆς θαλάσσης ἐστί, π ά ν τ α ἀπ' αὐτῆς ἐστιν* Φιλόλαος 2.1-4-5 *ἀνάγκα τὰ ἐόντα εἶμεν π ά ν τ α ἢ περαίνοντα ἢ ἄπειρα ἢ περαίνοντά τε καὶ ἄπειρα ... φαίνεται οὔτ' ἐκ περαινόντων π ά ν τ ω ν ἐόντα οὔτ' ἐξ ἀπείρων π ά ν τ ω ν* 4 *καὶ π ά ν τ α γα μὰν τὰ γιγνωσκόμενα ἀριθμὸν ἔχοντι*

Ακαδημία Αθηνών / Academy of Athens

11.8-9-19-20 *γνωμικὰ γὰρ ἁ φύσις ἁ τῶ ἀριθμῶ καὶ ἡγεμονικὰ καὶ διδασκαλικὰ τῶ ἀπορουμένω* π α ν τ ὸ ς *καὶ ἀγνοουμένω* π α ν τ ὶ ... *ἐν τοῖς ἀνθρωπικοῖς ἔργοις καὶ λόγοις* π ᾶ σ ι *παντᾶ καὶ κατὰ τὰς δημιουργίας τὰς τεχνικὰς* π ά σ α ς *καὶ κατὰ τὰν μουσικὰν* Ἀναξαγόρας 1.1-2-4 *ὁμοῦ* π ά ν τ α *χρήματα ἦν ... καὶ* π ά ν τ ω ν *ὁμοῦ ἐόντων οὐδὲν ἔνδηλον ἦν ὑπὸ σμικρότητος· πάντα γὰρ ἀήρ τε καὶ αἰθὴρ κατεῖχεν, ἀμφότερα ἄπειρα ἐόντα* 4.2-3-13-15-21 *χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν* π ᾶ σ ι *τοῖς συγκρινομένοις καὶ σπέρματα* π ά ν τ ω ν *χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονὰς ... πρὶν δὲ ἀποκριθῆναι ταῦτα* π ά ν τ ω ν *ὁμοῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία· ἀπεκώλυε γὰρ ἡ σύμμιξις* π ά ν τ ω ν *χρημάτων ... ἐν τῷ σύμπαντι χρὴ δοκεῖν ἐνεῖναι* π ά ν τ α *χρήματα* 12.9-10-27 *ἔστι γὰρ λεπτότατόν τε* π ά ν τ ω ν *χρημάτων καὶ καθαρώτατον, καὶ γνώμην γε περὶ* π α ν τ ὸ ς π ᾶ σ α ν *ἴσχει καὶ ἰσχύει μέγιστον ... νοῦς δὲ* π ᾶ ς *ὅμοιός ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐλάττων* 13 *καὶ ἐπεὶ ἤρξατο ὁ νοῦς κινεῖν, ἀπὸ τοῦ κινουμένου* π α ν τ ὸ ς *ἀπεκρίνετο* Διογένης 1 *λόγου* π α ν τ ὸ ς *ἀρχόμενον* 2.1-12 *ἐμοὶ δὲ δοκεῖ τὸ μὲν ξύμπαν εἰπεῖν* π ά ν τ α *τὰ ὄντα ἀπὸ τοῦ αὐτοῦ ἑτεροιοῦσθαι καὶ τὸ αὐτὸ εἶναι ... ἀλλὰ* π ά ν τ α *ταῦτα ἐκ τοῦ αὐτοῦ ἑτεροιούμενα ἄλλοτε ἀλλοῖα γίνεται καὶ εἰς τὸ αὐτὸ ἀναχωρεῖ* 5.2-11 *καί μοι δοκεῖ τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλούμενος ὑπὸ τῶν ἀνθρώπων, καὶ ὑπὸ τούτου καὶ* π ά ν τ α ς *κυβερνᾶσθαι καὶ* π ά ν τ ω ν *κρατεῖν ... καὶ* π ά ν τ ω ν *τῶν ζῴων δὲ ἡ ψυχὴ τὸ αὐτό ἐστιν* Δημόκριτος 98 *ἑνὸς φιλίη ξυνετοῦ κρέσσων ἀξυνέτων* π ά ν τ ω ν 124 *ἄνθρωποι εἷς ἔσται καὶ ἄνθρωπος* π ά ν τ ε ς 165 *λέγω τάδε περὶ τῶν ξυμπάντων. - ἄνθρωπός ἐστιν ὃ* π ά ν τ ε ς *ἴδμεν* 191.15 *καὶ τῇ μνήμῃ* π ᾶ σ α ν *ὥραν προσεδρεύων* 207 *ἡδονὴν οὐ* π ᾶ σ α ν, *ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ αἱρεῖσθαι χρεών* 235.3 *ὅσοι ἀπὸ γαστρὸς τὰς ἡδονὰς ποιέονται ... τοῖσι* π ᾶ σ ι ν *αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται* 237 *φιλονικίη* π ᾶ σ α *ἀνόητος* 247 *ἀνδρὶ σοφῷ* π ᾶ σ α *γῆ βατὴ* 258 *κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην* π ά ν τ α *περὶ* π α ν τ ὸ ς 259.4 *ἐν* π α ν τ ὶ *κόσμῳ, ἐν ᾧ μὴ νόμος ἀπείργει* 264.3 *μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ ... εἰ μέλλει μηδεὶς εἰδήσειν ἢ οἱ* π ά ν τ ε ς *ἄνθρωποι* 293 *οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κοινὰ*

Ακαδημία Αθηνών / Academy of Athens

π ᾶ σ ι ν, ἀπορέουσι δὲ οἰκηίης χαρᾶς Ἀνάξαρχος 1 *πολυμαθίη ... βλάπτει δὲ τὸν ῥηϊδίως φωνεῦντα π ᾶ ν ἔπος κὴν π α ν τ ὶ δήμῳ.* ||
πάντα. Ξενοφάνης 11.1 *π ά ν τ α θεοῖσ' ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός τε, ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστὶν* 25 *ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ π ά ν τ α κραδαίνει* 27 *ἐκ γαίης γὰρ π ά ν τ α καὶ εἰς γῆν π ά ν τ α τελευτᾷ* 34.2-4 *ἄσσα λέγω περὶ π ά ν τ ω ν ... δόκος δ' ἐπὶ π ᾶ σ ι τέτυκται* Ἡράκλειτος 1.4 *γινομένων γὰρ π ά ν τ ω ν κατὰ τὸν λόγον τόνδε* 7 *εἰ π ά ν τ α καπνὸς γένοιτο, ῥῖνες ἂν διαγνοῖεν* 10 *ἐκ π ά ν τ ω ν ἓν καὶ ἐξ ἑνὸς π ά ν τ α* 41 *ἓν τὸ σοφόν, ἐπίστασθαι γνώμην, ὁτέη ἐκυβέρνησε π ά ν τ α διὰ π ά ν τ ω ν* 50 *οὐκ ἐμοῦ, ἀλλὰ τοῦ λόγου ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν ἓν π ά ν τ α εἶναι* 53 *Πόλεμος π ά ν τ ω ν μὲν πατήρ ἐστι, π ά ν τ ω ν δὲ βασιλεύς* 66 *π ά ν τ α γὰρ ... τὸ πῦρ ἐπελθὸν κρινεῖ καὶ καταλήψεται* 80 *εἰδέναι δὲ χρὴ τὸν πόλεμον ἐόντα ξυνόν, καὶ δίκην ἔριν, καὶ γινόμενα π ά ν τ α κατ' ἔριν καὶ χρεών* 100 *ὥρας αἳ π ά ν τ α φέρουσι* 102 *τῷ μὲν θεῷ καλὰ π ά ν τ α καὶ ἀγαθὰ καὶ δίκαια, ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν ἃ δὲ δίκαια* 108 *ὁκόσων λόγους ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν ὅτι σοφόν ἐστι π ά ν τ ω ν κεχωρισμένον* 114 *ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ π ά ν τ ω ν, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως* Παρμενίδης 1.32 *τὰ δοκοῦντα χρῆν δοκίμως εἶναι διὰ παντὸς π ά ν τ α περῶντα* 9.1 *αὐτὰρ ἐπειδὴ π ά ν τ α φάος καὶ νὺξ ὀνόμασται* 12.3-4 *ἐν δὲ μέσῳ τούτων δαίμων ἣ π ά ν τ α κυβερνᾷ· π ά ν τ α γὰρ ⟨ἣ⟩ στυγεροῖο τόκου καὶ μίξιος ἄρχει* Ἐμπεδοκλῆς 6.1 *τέσσαρα γὰρ π ά ν τ ω ν ῥιζώματα πρῶτον ἄκουε* 17.4-27 *τὴν μὲν γὰρ π ά ν τ ω ν σύνοδος τίκτει τ' ὀλέκει τε, ἡ δὲ πάλιν διαφυομένων θρεφθεῖσα διέπτη ... ταῦτα γὰρ ἴσά τε π ά ν τ α καὶ ἥλικα γένναν ἔασι* 21.5-7-9 *ὄμβρον δ' ἐν π ᾶ σ ι δνοφόεντά τε ῥιγαλέον τε ... ἐν δὲ Κότῳ διάμορφα καὶ ἄνδιχα π ά ν τ α πέλονται, σὺν δ' ἔβη ἐν Φιλότητι καὶ ἀλλήλοισι ποθεῖται. ἐκ τούτων γὰρ π ά ν θ' ὅσα τ' ἦν ὅσα τ' ἔστι καὶ ἔσται* 23.5 *ἐκ τῶν εἴδεα π ᾶ σ ι ν ἀλίγκια πορσύνουσι* 89 *γνούς, ὅτι π ά ν τ ω ν εἰσὶν ἀπορροαί, ὅσσ' ἐγένοντο* 100.1 *π ᾶ σ ι λίφαιμοι σαρκῶν σύριγγες πύματον κατὰ σῶμα τέτανται* 102 *ὧδε μὲν οὖν πνοιῆς τε λελόγχασι π ά ν τ α καὶ ὀσμῶν* 107.1 *ἐκ τούτων ⟨γὰρ⟩ π ά ν τ α πεπήγασιν ἁρμοσθέντα καὶ τούτοις φρονέουσι καὶ ἥδοντ'*

Ακαδημία Αθηνών / Academy of Athens

ἠδ' ἀνιῶνται 110.10 *π ά ν τ α γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ νώματος αἶσαν* 130.1 *ἦσαν δὲ κτίλα π ά ν τ α καὶ ἀνθρώποισι προσηνῆ, θῆρές τ' οἰωνοί τε* 135.1 *ἀλλὰ τὸ μὲν π ά ν τ ω ν νόμιμον διά τ' εὐρυμέδοντος αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου αὐγῆς* Φιλόλαος 1 *ἁ φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅλος ⟨ὁ⟩ κόσμος καὶ τὰ ἐν αὐτῷ π ά ν τ α* 3 *ἀρχὰν γὰρ οὐδὲ τὸ γνωσούμενον ἐσσεῖται π ά ν τ ω ν ἀπείρων ἐόντων* 8 *οὐ γὰρ ἦν ... ἀρχὰ π ά ν τ ω ν;* 11.5 *δύναμις καὶ τᾶς δεκάδος. ἄνευ δὲ τούτας π ά ν τ' ἄπειρα καὶ ἄδηλα καὶ ἀφανῆ* Ἀναξαγόρας 5 *π ά ν τ α οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ πλείω (οὐ γὰρ ἀνυστὸν π ά ν τ ω ν πλείω εἶναι), ἀλλὰ π ά ν τ α ἴσα ἀεὶ* 6 *καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μεγάλου καὶ τοῦ σμικροῦ πλῆθος, καὶ οὕτως ἂν εἴη ἐν παντὶ π ά ν τ α· οὐδὲ χωρὶς ἔστιν εἶναι, ἀλλὰ π ά ν τ α παντὸς μοῖραν μετέχει... καὶ νῦν π ά ν τ α ὁμοῦ. ἐν π ᾶ σ ι δὲ πολλὰ ἔνεστι* 12.12-16-18 *καὶ ὅσα γε ψυχὴν ἔχει καὶ τὰ μείζω καὶ τὰ ἐλάσσω, π ά ν τ ω ν νοῦς κρατεῖ ... καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα καὶ διακρινόμενα π ά ν τ α ἔγνω νοῦς. καὶ ὁποῖα ἔμελλεν ἔσεσθαι καὶ ὁποῖα ἦν, ἅσσα νῦν μὴ ἔστι, καὶ ὅσα νῦν ἐστι καὶ ὁποῖα ἔσται, π ά ν τ α διεκόσμησε νοῦς* 14 *ὁ δὲ νοῦς, ὃς ἀεί ἐστι, τὸ κάρτα καὶ νῦν ἐστιν ἵνα καὶ τὰ ἄλλα π ά ν τ α, ἐν τῷ πολλῷ περιέχοντι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις* Διογένης 3.2 *οὐ γὰρ ἂν ... οἷόν τε ἦν οὕτω δεδάσθαι ἄνευ νοήσιος, ὥστε π ά ν τ ω ν μέτρα ἔχειν* 5.3-4-22-24 *καί μοι δοκεῖ τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλούμενος ὑπὸ τῶν ἀνθρώπων, καὶ ὑπὸ τούτου πάντας καὶ κυβερνᾶσθαι καὶ π ά ν τ ω ν κρατεῖν· αὐτὸ γάρ μοι τοῦτο θεὸς δοκεῖ εἶναι καὶ ἐπὶ πᾶν ἀφῖχθαι καὶ π ά ν τ α διατιθέναι καὶ ἐν παντὶ ἐνεῖναι ... ὅμως δὲ π ά ν τ α τῷ αὐτῷ καὶ ζῇ καὶ ὁρᾷ καὶ ἀκούει, καὶ τὴν ἄλλην νόησιν ἔχει ἀπὸ τοῦ αὐτοῦ π ά ν τ α* Λεύκιππος 2 *οὐδὲν χρῆμα μάτην γίνεται, ἀλλὰ π ά ν τ α ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης* Δημόκριτος 30 *π ά ν τ α, ⟨εἶπαν⟩, Ζεὺς μυθέεται (?) καὶ π ά ν θ' οὗτος οἶδε καὶ διδοῖ καὶ ἀφαιρέεται καὶ βασιλεὺς οὗτος τῶν π ά ν τ ω ν* 78 *χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ π ά ν τ ω ν κάκιον* 86 *πλεονεξίη τὸ π ά ν τ α λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν* 106 *ἐν εὐτυχίῃ φίλον εὑρεῖν εὔπορον, ἐν δὲ δυστυχίῃ π ά ν τ ω ν ἀπορώτατον* 169 *μὴ π ά ν τ α ἐπίστασθαι προθυμέο, μὴ π ά ν τ ω ν ἀμαθὴς γένῃ* 178 *π ά ν τ ω ν κάκιστον*

Ακαδημία Αθηνών / Academy of Athens

ἡ εὐπετείη παιδεῦσαι τὴν νεότητα 216 *σοφίη ἄθαμβος ἀξίη π ά ν τ ω ν* 252.5-7 *πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι, καὶ ἐν τούτῳ π ά ν τ α ἔνι, καὶ τούτου σῳζομένου π ά ν τ α σῴζεται καὶ τούτου διαφθειρομένου τὰ π ά ν τ α διαφθείρεται* 278.4-8 *δῆλον δὲ καὶ τοῖς ἄλλοις ζῴοισι· π ά ν τ α γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν ἐπωφελείης γε οὐδεμιᾶς εἵνεκα... ἡ μὲν φύσις τοιαύτη π ά ν τ ω ν ἐστὶν ὅσσα ψυχὴν ἔχει* 296 *γῆρας ὁλόκληρός ἐστι πήρωσις· π ά ν τ' ἔχει καὶ π ᾶ σ ι ν ἐνδεῖ* Μητρόδωρος 2 *π ά ν τ α ἐστίν, ὃ ἄν τις νοήσαι.* || **(τὰ) πάντα.** Ἡράκλειτος 64 *τ ὰ δὲ π ά ν τ α οἰακίζει Κεραυνὸς* 90 *πυρός τε ἀνταμοιβὴ τ ὰ π ά ν τ α καὶ πῦρ ἁπάντων ὅκωσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσός.* || **πᾶν.** Παρμενίδης 1.32 *τὰ δοκοῦντα χρῆν δοκίμως εἶναι διὰ π α ν τ ὸ ς πάντα περῶντα* 9.3 *π ᾶ ν πλέον ἐστὶν ὁμοῦ φάεος καὶ νυκτὸς ἀφάντου ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδὲν* Ἐμπεδοκλῆς 35.10 *οὐ γὰρ ἀμεμφέως τῶν π ᾶ ν ἐξέστηκεν ἐπ' ἔσχατα τέρματα κύκλου, ἀλλὰ τὰ μὲν τ' ἐνέμιμνε μελέων τὰ δέ τ' ἐξεβεβήκει* Ἀναξαγόρας 6 *καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μεγάλου καὶ τοῦ σμικροῦ πλῆθος, καὶ οὕτως ἂν εἴη ἐν π α ν τ ὶ πάντα· οὐδὲ χωρὶς ἔστιν εἶναι, ἀλλὰ πάντα π α ν τ ὸ ς μοῖραν μετέχει* 11 *ἐν π α ν τ ὶ π α ν τ ὸ ς μοῖρα ἔνεστι πλὴν νοῦ, ἔστιν οἷσι δὲ καὶ νοῦς ἔνι* 12.1-5-10 *τὰ μὲν ἄλλα π α ν τ ὸ ς μοῖραν μετέχει, νοῦς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμεικται οὐδενὶ χρήματι, ἀλλὰ μόνος αὐτὸς ἐπ' ἐωυτοῦ ἐστιν ... ἐν π α ν τ ὶ γὰρ π α ν τ ὸ ς μοῖρα ἔνεστιν ... καὶ γνώμην γε περὶ π α ν τ ὸ ς πᾶσαν ἴσχει καὶ ἰσχύει μέγιστον* Διογένης 5.4-5 *αὐτὸ γάρ μοι τοῦτο θεὸς δοκεῖ εἶναι καὶ ἐπὶ π ᾶ ν ἀφῖχθαι καὶ πάντα διατιθέναι καὶ ἐν π α ν τ ὶ ἐνεῖναι* Δημόκριτος 102 *καλὸν ἐν π α ν τ ὶ τὸ ἴσον* 258 *κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ π α ν τ ό ς· καὶ ταῦτα ὁ ποιῶν εὐθυμίης (?) καὶ δίκης καὶ θάρσεος καὶ κτήσεως (?) ἐν π α ν τ ὶ κόσμῳ μέζω μοῖραν μεθέξει.* || **(τὸ) πᾶν·** Ἐμπεδοκλῆς 13 *οὐδέ τι τ ο ῦ π α ν τ ὸ ς κενεὸν πέλει οὐδὲ περισσὸν* 14 *τ ο ῦ π α ν τ ὸ ς δ' οὐδὲν κενεόν· πόθεν οὖν τί κ' ἐπέλθοι;* 17.32 *τοῦτο δ' ἐπαυξήσειε τ ὸ π ᾶ ν τί κε;* 26.7 *εἰσόκεν ἓν συμφύντα τ ὸ π ᾶ ν ὑπένερθε γένηται* 39.3 *ὀλίγον τ ο ῦ π α ν τ ὸ ς ἰδόντων* Δημόκριτος 167 *δῖνον ἀπὸ τ ο ῦ π α ν τ ὸ ς ἀποκριθῆναι παντοίων ἰδεῶν* **2** (συνών. ἅπας, ὅλος). Ὁλόκληρος/ὅλος, whole/all, Ξενοφάνης 6.3 *τοῦ κλέος Ἑλ-*

Ακαδημία Αθηνών / Academy of Athens

λάδα π ᾶ σ α ν ἐφίξεται Παρμενίδης 8.5-22-24-25-48-60 *οὐδέ ποτ' ἦν οὐδ' ἔσται, ἐπεὶ νῦν ἔστιν ὁμοῦ π ᾶ ν, ἕν, συνεχὲς ... οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ π ᾶ ν ἐστιν ὁμοῖον ... οὐδέ τι χειρότερον, π ᾶ ν δ' ἔμπλεόν ἐστιν ἐόντος. τῷ ξυνεχὲς π ᾶ ν ἐστιν ... ἐπεὶ π ᾶ ν ἐστιν ἄσυλον ... τόν σοι ἐγὼ διάκοσμον ἐοικότα π ά ν τ α φατίζω* Μέλισσος 2.8 *ὅ τι μὴ π ᾶ ν ἔστι* 7(1)-(2)-(4) *οὕτως οὖν ἀίδιόν ἐστι καὶ ἄπειρον καὶ ἓν καὶ ὅμοιον π ᾶ ν ... ὀλεῖται π ᾶ ν ἐν τῷ π α ν τ ὶ χρόνῳ ... οὐδὲ ἀλγεῖ· οὐ γὰρ ἂν π ᾶ ν εἴη ἀλγέον* Ἐμπεδοκλῆς 3.9 *ἀλλ' ἄγ' ἄθρει π ά σ η παλάμῃ* Ἀναξαγόρας 13 *καὶ ὅσον ἐκίνησεν ὁ νοῦς, π ᾶ ν τοῦτο διεκρίθη* Διογένης 6.18 *αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι (sc. φλέβες) σχίζονται κατὰ τὴν πρόσφυσιν, καὶ διὰ π α ν τ ὸ ς τοῦ μηροῦ τείνουσιν* Δημόκριτος 159 *εἰ τοῦ σώματος αὐτῇ δίκην λαχόντος, παρὰ π ά ν τ α τὸν βίον ὧν ὠδύνηται ⟨καὶ⟩ κακῶς πέπονθεν, αὐτὸς γένοιτο τοῦ ἐγκλήματος δι⟨καστής⟩, ἡδέως ἂν καταψηφίσασθαι τῆς ψυχῆς.* || **διὰ πασᾶν.** Φιλόλαος 6.21 *ἁ δὲ συλλαβὰ ἐπίτριτον, τὸ δὲ δι' ὀξειᾶν ἡμιόλιον, τὸ δ ι ὰ π α σ ᾶ ν δὲ διπλόον.*

πάσχειν (ἀντίθ. *πράσσειν*) **1.** Παθαίνω/ὑφίσταμαι, suffer/be affected, Μέλισσος 7(2) *εἰ γάρ τι τούτων π ά σ χ ο ι, οὐκ ἂν ἔτι ἓν εἴη* Δημόκριτος 278.7 *ὑπερδέδοικε, μέχρι σμισκρὰ ᾖ, καὶ ἤν τι π ά θ η, ἀνιᾶται* **2.** Πάσχω/ὑποφέρω, suffer, Δημόκριτος 191.10-21 *ἐννοούμενον ἃ π ά σ χ ο υ σ ι ... ἐνθυμεύμενον ἃ π ά σ χ ο υ σ ι ν.* || **πάσχειν εὖ** (ἀντίθ. *πάσχειν κακῶς*). Εὐεργετοῦμαι, be benefitted, Δημόκριτος 248 *ὁ νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· δύναται δέ, ὅταν αὐτοὶ βούλωνται π ά σ χ ε ι ν ε ὖ.* || **πάσχειν κακῶς** (ἀντίθ. *πάσχειν εὖ*) **1.** Κακοπαθαίνω, suffer hardship, Δημόκριτος 159 *ὧν ὠδύνηται ⟨καὶ⟩ κ α κ ῶ ς π έ π ο ν θ ε ν* **2.** Τιμωροῦμαι, be punished, Δημόκριτος 253 *κίνδυνος κ α κ ῶ ς ἀκούειν καὶ δὴ καὶ π α θ ε ῖ ν τι* 265 *τὸν δὲ μὴ ἀποδιδόντα κ α κ ῶ ς ἀκούειν καὶ π ά σ χ ε ι ν.* Πρβλ. *κακῶς ἀκούειν.*

πατήρ (συνών. *γενέτωρ*). Πατέρας, father, Ἐμπεδοκλῆς 137.1-5 *μορφὴν δ' ἀλλάξαντα π α τ ὴ ρ φίλον υἱὸν ἀείρας σφάζει ἐπευχόμενος μέγα νήπιος ... ὡς δ' αὖτως π α τ έ ρ' υἱὸς ἑλὼν καὶ μητέρα παῖδες θυμὸν ἀπορραίσαντε φίλας κατὰ σάρκας ἔδουσιν* Δημόκριτος 208 *π α τ ρ ὸ ς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.*

Ακαδημία Αθηνών / Academy of Athens

|| Ἡράκλειτος 53 *Πόλεμος πάντων μὲν π α τ ή ρ ἐστι, πάντων δὲ βασιλεύς.* Πρβλ. *πατρικός, πάτριος, πατρίς.*

πάτος. Πάτημα, path. || **ἐκτὸς πάτου.** Ἀπάτητος, untrodden, Παρμενίδης 1.27 *οὔτι σε μοῖρα κακὴ προὔπεμπε νέεσθαι τήνδ' ὁδόν (ἦ γὰρ ἀπ' ἀνθρώπων ἐ κ τ ὸ ς π ά τ ο υ ἐστίν), ἀλλὰ θέμις τε δίκη τε.*

πατρικός. Πατρικός, paternal, Δημόκριτος 228.6 *οὕτω δὲ καὶ οὗτοι (sc. οἱ τῶν φειδωλῶν παῖδες), ἢν ἁμάρτωσι τοῦ π α τ ρ ι κ ο ῦ τύπου τοῦ ἐπιμελέος καὶ φειδωλοῦ, φιλέουσι διαφθείρεσθαι.* Πρβλ. *πατήρ, πάτριος, πατρίς.*

πάτριος. Πάτριος, ancestral, Δημόκριτος 259.4 *κατὰ νόμους τοὺς π α τ ρ ί ο υ ς.* Πρβλ. *πατήρ, πατρικός, πατρίς.*

πατρίς. Πατρίδα, native land, Δημόκριτος 247 *ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς π α τ ρ ὶ ς ὁ ξύμπας κόσμος.* Πρβλ. *πατήρ, πατρικός, πάτριος.*

παύειν 1. Παύω/ἐμποδίζω, stop/stop from, Παρμενίδης 8.46 *οὔτε γὰρ οὐκ ἐὸν ἔστι, τό κεν π α ύ ο ι μιν ἱκνεῖσθαι εἰς ὁμὸν* Ἀρχύτας 3.14 *κανὼν δὲ καὶ κωλυτὴρ τῶν ἀδικούντων ⟨ἐὼν⟩ (sc. ὁ λογισμός) τοὺς μὲν ἐπισταμένους λογίζεσθαι πρὶν ἀδικεῖν ἔ π α υ σ ε* **2.** Παύω/σταματῶ, bring to an end, Παρμενίδης 8.50 *ἐν τῷ σοι π α ύ ω πιστὸν λόγον ἠδὲ νόημα ἀμφὶς ἀληθείης* **3.** Καταπαύω, cease, Ἐμπεδοκλῆς 111.3 *π α ύ σ ε ι ς δ' ἀκαμάτων ἀνέμων μένος* Ἀρχύτας 3.7 *στάσιν μὲν ἔ π α υ σ ε ν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθείς.* || **παύεσθαι** (συνών. *λήγειν*). Παύω/σταματῶ, cease/abate, Ἐμπεδοκλῆς 136.1 *οὐ π α ύ σ ε σ θ ε φόνοιο δυσηχέος;*

παῦρος. Ὀλίγος/βραχύς, short, Ἐμπεδοκλῆς 2.3 *π α ῦ ρ ο ν δ' ἐν ζωῇσι βίου μέρος ἀθρήσαντες ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν.* Πρβλ. *βραχύς, ὀλίγος.*

πάχος. Πάχος, fatness/bulk, Ζήνων 1.3 *εἰ δὲ ἔστιν (sc. τὸ ὄν), ἀνάγκη ἕκαστον μέγεθός τι ἔχειν καὶ π ά χ ο ς καὶ ἀπέχειν*

Ακαδημία Αθηνών / Academy of Athens

αὐτοῦ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου Μέλισσος 9 *εἰ δὲ ἔχει π ά χ ο ς, ἔχοι ἂν μόρια, καὶ οὐκέτι ἓν εἴη.* Πρβλ. *παχύς.*

παχὺς 1. Χονδρός, fat, Διογένης 6.20-21 *ἡ δὲ μεγίστη αὐτῶν (sc. τῶν φλεβῶν) ὄπισθεν τείνει τοῦ μηροῦ καὶ ἐκφαίνεται π α χ ε ῖ α· ἑτέρα δὲ εἴσω τοῦ μηροῦ μικρὸν ἧττον π α χ ε ῖ α ἐκείνης* **2** (συνών. *πυκνός*, ἀντίθ. *ἀραιός, μανός*). Πυκνός, thick, Πυθαγόρειοι 1a (DK I 449,22) *καλοῦσι δὲ τὸν μὲν ἀέρα ψυχρὸν αἰθέρα, τὴν δὲ θάλασσαν καὶ τὸ ὑγρὸν π α χ ὺ ν αἰθέρα* Διογένης 6.48 *τὸ δ' αἷμα τὸ μὲν π α χ ύ τ α τ ο ν ὑπὸ τῶν σαρκωδῶν ἐκπίνεται· ὑπερβάλλον δὲ εἰς τοὺς τόπους τούτους λεπτὸν καὶ θερμὸν καὶ ἀφρῶδες γίνεται.* Πρβλ. *πάχος.*

πέδαι. Δεσμά, fetters, Παρμενίδης 8.14 *Δίκη χαλάσασα πέδ η σ ι ν .*

πεδᾶν. Δένω/ἀναγκάζω, bind/constrain, Παρμενίδης 8.37 *ἐπεὶ τό γε Μοῖρ' ἐ π έ δ η σ ε ν οὖλον ἀκίνητόν τ' ἔμεναι* 10.6 *εἰδήσεις δὲ καὶ οὐρανὸν ἀμφὶς ἔχοντα ἔνθεν [μὲν γὰρ] ἔφυ τε καὶ ὥς μιν ἄγουσ(α) ἐ π έ δ η σ ε ν 'Ανάγκη πείρατ' ἔχειν ἄστρων.*

πείθειν. Πείθω, persuade, Παρμενίδης 1.16 *τὴν δὴ παρφάμεναι κοῦραι μαλακοῖσι λόγοισιν π ε ῖ σ α ν ἐπιφραδέως* 'Αρχύτας 3.14 *π ε ί σ α ς ὅτι οὐ δυνασοῦνται λαθεῖν.* || **πείθεσθαι 1.** Ὑπακούω, obey, Ἡράκλειτος 33 *νόμος καὶ βουλῇ π ε ί θ ε σ θ α ι ἑνὸς* Δημόκριτος 248 *ὁ νόμος ... τοῖσι γὰρ π ε ι θ ο μ έ μ έ ν ο ι σ ι τὴν ἰδίην ἀρετὴν ἐνδείκνυται* **2.** Πείθομαι, be persuaded, Ἡράκλειτος 104 *δήμων ἀοιδοῖσι π ε ί θ ο ν τ α ι* 'Εμπεδοκλῆς 2.5 *αὐτὸ μόνον π ε ι σ θ έ ν τ ε ς.* || Παρμενίδης 8.39 *ὅσσα βροτοὶ κατέθεντο π ε π ο ι θ ό τ ε ς εἶναι ἀληθῆ.*

πειθώ. Πειθώ, persuasion, 'Εμπεδοκλῆς 133.3 *π ε ι θ ο ῦ ς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα πίπτει* Δημόκριτος 51 *ἰσχυρότερος ἐς π ε ι θ ὼ λόγος πολλαχῇ γίνεται χρυσοῦ* 181 *κρείσσων ἐπ' ἀρετὴν φανεῖται προτροπῇ χρώμενος καὶ λόγου π ε ι θ ο ῖ ἥπερ νόμῳ καὶ ἀνάγκῃ. λάθρῃ μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ νόμου, τὸν δὲ ἐς τὸ δέον ἡγμένον π ε ι θ ο ῖ οὐκ εἰκὸς*

Ακαδημία Αθηνών / Academy of Athens

οὔτε λάθρῃ οὔτε φανερῶς ἔρδειν τι πλημμελές. ‖ **Πειθώ.** Πειθὼ (προσωποπ.), Persuasion (personif.), Παρμενίδης 2.4 *ἡ μὲν ὅπως ἔστιν τε καὶ ὡς οὐκ ἔστι μὴ εἶναι, Π ε ι θ ο ῦ ς ἐστι κέλευθος (Ἀληθείῃ γὰρ ὀπηδεῖ).*

πειρᾶσθαι. Δοκιμάζω/ἐπιχειρῶ, try/attempt, Ἡράκλειτος 1 *π ε ι ρ ώ μ ε ν ο ι καὶ ἐπέων καὶ ἔργων τοιούτων, ὁκοίων ἐγὼ διηγεῦμαι.* || Δοκιμάζομαι, be tested, Δημόκριτος 100 *ὅτεῳ μὴ διαμένουσιν ἐπὶ πολλὸν οἱ π ε ι ρ α θ έ ν τ ε ς φίλοι, δύστροπος.*

πεῖσμα. Μίσχος/πρόσδεμα, stalk/cable, Δημόκριτος 148 *ὁ γὰρ ὀμφαλὸς πρῶτον ἐν μήτρῃσιν ... ἀγκυρηβόλιον σάλου καὶ πλάνης ἐμφύεται, π ε ῖ σ μ α καὶ κλῆμα τῷ γεννωμένῳ καρπῷ καὶ μέλλοντι.*

πέλαγος. Πέλαγος/θάλασσα, open sea/sea, Ἐμπεδοκλῆς 50 *Ἶρις δ' ἐκ π ε λ ά γ ο υ ς ἄνεμον φέρει ἢ μέγαν ὄμβρον.*

πελάζειν. Πλησιάζω/συνάπτομαι, approach/keep close to, Παρμενίδης 8.25 *τῷ ξυνεχὲς πᾶν ἐστιν· ἐὸν γὰρ ἐόντι π ε λ ά ζ ε ι.* Πρβλ. *συνέχεσθαι.*

πέλειν 1. Γίνομαι/συμβαίνω, become/happen, Ξενοφάνης 2.18 *ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι π έ λ ε ι.* || **πέλεσθαι.** Ἐμπεδοκλῆς 21.7 *ἐν δὲ Κότῳ διάμορφα καὶ ἄνδιχα πάντα π έ λ ο ν τ α ι* 68 *μηνὸς ἐν ὀγδοάτου δεκάτῃ πύον ἔ π λ ε τ ο λευκὸν* 81 *οἶνος ἀπὸ φλοιοῦ π έ λ ε τ α ι σαπὲν ἐν ξύλῳ ὕδωρ* 110.7 *οἷα κατ' ἄνδρας μυρία δειλὰ π έ λ ο ν τ α ι* **2** (συνών. εἶναι). Εἶμαι/ὑπάρχω, be/exist, Παρμενίδης 6.8 *οἷς τὸ π έ λ ε ι ν τε καὶ οὐκ εἶναι ταὐτὸν νενόμισται κοὐ ταὐτὸν* 8.11-18-45 *οὕτως ἢ πάμπαν π ε λ έ ν α ι χρεών ἐστιν ἢ οὐχί ... τὴν δ' ὥστε π έ λ ε ι ν καὶ ἐτήτυμον εἶναι ... τὸ γὰρ οὔτε τι μεῖζον οὔτε τι βαιότερον π ε λ έ ν α ι χρεὸν ἐστι τῇ ἢ τῇ.* || **πέλεσθαι.** Ξενοφάνης 16.2 *Αἰθίοπές τε ⟨θεοὺς σφετέρους⟩ σιμοὺς μέλανάς τε Θρῇκές τε γλαυκοὺς καὶ πυρρούς ⟨φασι π έ λ ε σ θ α ι⟩* 38.2 *εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, πολλὸν ἔφασκον γλύσσονα σῦκα π έ λ ε σ θ α ι* Ἐμπεδοκλῆς 13 *οὐδέ τι τοῦ παντὸς κενεὸν π έ λ ε ι οὐδὲ περισσὸν* 21.2 *εἴ τι καὶ ἐν προτέροισι λιπόξυλον ἔ π λ ε τ ο μορφῇ* 42.3 *ἀπεσκίψωσε δὲ γαίης τόσσον ὅ-*

Ακαδημία Αθηνών / Academy of Athens

σον τ' εὖρος γλαυκώπιδος ἔ π λ ε τ ο μήνης 67.1 *ἐν γὰρ θερμοτέρῳ τοκὰς ἄρρενος ἔ π λ ε τ ο γαστὴρ (?)* 71.1 *λιπόξυλος ἔ π λ ε τ ο πίστις* 134.4 *ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔ π λ ε τ ο μοῦνον, φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇσιν.*

πελεμίζεσθαι. Σείομαι/ἀπωθοῦμαι, be shaken/be driven away, Ἐμπεδοκλῆς 31 *πάντα γὰρ ἐξείης π ε λ ε μ ί ζ ε τ ο γυῖα θεοῖο.* Πρβλ. *κινεῖσθαι.*

πένης (ἀντίθ. *πλούσιος*). Πτωχός, poor, Δημόκριτος 283 *οὔτε οὖν πλούσιος ⟨ὁ⟩ ἐνδέων οὔτε π έ ν η ς ὁ μὴ ἐνδέων* Ἀρχύτας 3.10 *διὰ τοῦτον (sc. λογισμόν) οὖν οἱ π έ ν η τ ε ς λαμβάνοντι παρὰ τῶν δυναμένων.* Πρβλ. *οἱ δυνάμενοι, ἐνδεῖν, οἱ δεόμενοι.*

πενητεύειν. Στεροῦμαι, be deprived, Ἐμπεδοκλῆς 57.3 *ὄμματά τ' οἴ(α) ἐπλανᾶτο π ε ν η τ ε ύ ο ν τ α μετώπων.* Πρβλ. *ἐνδεῖν.*

πενίη (ἀντίθ. *πλοῦτος, εὐπορίη*). Φτώχεια, poverty, Δημόκριτος 101 *ἐκτρέπονται πολλοὶ τοὺς φίλους, ἐπὴν ἐξ εὐπορίης εἰς π ε ν ί η ν μεταπέσωσιν* 219 *χρημάτων ὄρεξις, ἢν μὴ ὁρίζηται κόρῳ, π ε ν ί η ς ἐσχάτης πολλὸν χαλεπωτέρη* 251 *ἢ ἐν δημοκρατίῃ π ε ν ί η τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστι αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης* 283 *π ε ν ί η πλοῦτος ὀνόματα ἐνδείης καὶ κόρου* 284 *σμικρὰ γὰρ ὄρεξις π ε ν ί η ν ἰσοσθενέα πλούτῳ ποιέει* 291 *π ε ν ί η ν ἐπιεικέως φέρειν σωφρονέοντος.* || Δημόκριτος 24 *μητέρα ... Π ε ν ί α ν.*

περαίνειν 1. Ἔχω ὅριο, have a limit, Μέλισσος 5 *εἰ μὴ ἦν εἴη, π ε ρ α ν ε ῖ πρὸς ἄλλο* **2.** Ἔχω πέρας/θέτω πέρας, have a boundary/ set a boundary, Φιλόλαος 1 *ἁ φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ π ε ρ α ι ν ό ν τ ω ν* 2 *ἀνάγκα τὰ ἐόντα εἶμεν πάντα ἢ π ε ρ α ί ν ο ν τ α ἢ ἄπειρα ἢ π ε ρ α ί ν ο ν τ ά τε καὶ ἄπειρα· ἄπειρα δὲ μόνον ⟨ἢ π ε ρ α ί ν ο ν τ α μόνον⟩ οὔ κα εἴη. ἐπεὶ τοίνυν φαίνεται οὔτ' ἐκ π ε ρ α ι ν ό ν τ ω ν πάντων ἐόντα οὔτ' ἐξ ἀπείρων πάντων, δῆλον τᾶρα ὅτι ἐκ π ε ρ α ι ν ό ν τ ω ν τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ συναρμόχθη.*

Ακαδημία Αθηνών / Academy of Athens

δηλοῖ δὲ καὶ τὰ ἐν τοῖς ἔργοις. τὰ μὲν γὰρ αὐτῶν ἐκ π ε ρ α ι ν ό ν τ ω ν π ε ρ α ί ν ο ν τ ι, τὰ δ' ἐκ π ε ρ α ι ν ό ν τ ω ν τε καὶ ἀπείρων π ε ρ α ί ν ο ν τ ί τε καὶ οὐ π ε ρ α ί ν ο ν τ ι, τὰ δ' ἐξ ἀπείρων ἄπειρα φανέονται 6.7 *τῶν πραγμάτων, ἐξ ὧν συνέστα ὁ κόσμος, καὶ τῶν π ε ρ α ι ν ό ν τ ω ν καὶ τῶν ἀπείρων* 11.15 *τῶν πραγμάτων τῶν τε ἀπείρων καὶ τῶν π ε ρ α ι ν ό ν τ ω ν.* || **περασμένος**. Περιορισμένος σὲ ἀριθμό, limited in number, Ζήνων 3.3 *εἰ δὲ τοσαῦτά ἐστιν ὅσα ἐστί, π ε π ε ρ α σ μ έ ν α ἂν εἴη.* Πρβλ. *πέρας*.

περᾶν. Ὁρίζω/περικλείω, bound/enclose, Παρμενίδης 1.32 *ἀλλ' ἔμπης καὶ ταῦτα μαθήσεαι, ὡς τὰ δοκοῦντα χρῆν δοκίμως εἶναι διὰ παντὸς πάντα π ε ρ ῶ ν τ α.*

πέρας (τύπ. *πεῖρας*) **1.** Πέρας/ἄκρον, end/further end, Ξενοφάνης 28.1 *γαίης μὲν τόδε π ε ῖ ρ α ς ἄνω παρὰ ποσσὶν ὁρᾶται ἠέρι προσπλάζον* **2.** Πέρας/ἐσχατία, end/extremity, Ἡράκλειτος 45 *ψυχῆς π ε ί ρ α τ α ἰὼν οὐκ ἂν ἐξεύροιο, πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λόγον ἔχει* Ἐμπεδοκλῆς 17.15 *ὡς γὰρ καὶ πρὶν ἔειπα πιφαύσκων π ε ί ρ α τ α μύθων, δίπλ' ἐρέω* **3** (ἀντίθ. *ἀρχή*). Πέρας/τέλος, end/termination, Ἡράκλειτος 103 *ξυνὸν γὰρ ἀρχὴ καὶ π έ ρ α ς ἐπὶ κύκλου περιφερείας* **4.** Πέρας/ὅριο, end/boundary, Παρμενίδης 8.26-31-42-49 *αὐτὰρ ἀκίνητον μεγάλων ἐν π ε ί ρ α σ ι δεσμῶν ἔστιν ἄναρχον ἄπαυστον ... κρατερὴ γὰρ Ἀνάγκη π ε ί ρ α τ ο ς ἐν δεσμοῖσιν ἔχει ... π ε ῖ ρ α ς πύματον, τετελεσμένον ἐστὶ πάντοθεν ... οἷ γὰρ πάντοθεν ἶσον, ὁμῶς ἐν π ε ί ρ α σ ι κύρει* 10.7 *ὥς μιν ἄγουσ(α) ἐπέδησεν Ἀνάγκη π ε ί ρ α τ' ἔχειν ἄστρων* Μέλισσος 6 *εἰ γὰρ δύο εἴη, οὐδ' ἂν δύναιτο ἄπειρα εἶναι, ἀλλ' ἔχοι ἂν π ε ί ρ α τ α πρὸς ἄλληλα* **5** (ἀντίθ. *ἄπειρον*). Πέρας/ὁριοθετικὴ ἀρχή, end/boundary principle, Πυθαγόρειοι 5 (DK I 452,37) *π έ ρ α ς καὶ ἄπειρον*. Πρβλ. *περαίνειν*.

περιγί(γ)νεσθαι 1. Ὑπερβαίνω/περισσεύω, overdo/be left over, Ἡράκλειτος 114 *κρατεῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκεῖ πᾶσι καὶ π ε ρ ι γ ί ν ε τ α ι* **2.** Προέρχομαι, derive, Δημόκριτος 218 *πλοῦτος ἀπὸ κακῆς ἐργασίης π ε ρ ι γ ι ν ό μ ε ν ο ς ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

περιεῖναι 1. Ὑπερέχω/ὑπερτερῶ, surpass/exceed, Ἐμπεδοκλῆς 113.1 *εἰ θνητῶν π ε ρ ί ε ι μ ι πολυφθερέων ἀνθρώπων* **2.** Πλεονάζω/περισσεύω, be in excess, Δημόκριτος 144 *μὴ ἀποκρῖναι τἀναγκαῖον, ἀλλὰ ἐκ τοῦ π ε ρ ι ε ὖ ν τ ο ς ἤδη γενέσθαι.*

περιέχειν. Περιέχω/συνέχω, contain/hold together, Ἀναξιμένης 2 *οἷον ἡ ψυχὴ ... ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ π ε ρ ι έ χ ε ι.* || **τὸ περιέχον.** Ἀναξαγόρας 2 *καὶ γὰρ ἀήρ τε καὶ αἰθὴρ ἀποκρίνονται ἀπὸ τοῦ πολλοῦ τοῦ π ε ρ ι έ χ ο ν τ ο ς, καὶ τό γε π ε ρ ι έ χ ο ν ἄπειρόν ἐστι τὸ πλῆθος* 14 *ὁ δὲ νοῦς, ὃς ἀεί ἐστι, τὸ κάρτα καὶ νῦν ἐστιν ἵνα καὶ τὰ ἄλλα πάντα, ἐν τῷ πολλῷ π ε ρ ι έ χ ο ν τ ι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις.*

περιηγής. Περικυρίαρχος, all dominant, Ἐμπεδοκλῆς 27.4 *καὶ* 28.2 *Σφαῖρος κυκλοτερὴς μονίῃ π ε ρ ι η γ έ ι γαίων.*

περικάρδιος. Περικάρδιος, pericardium, Ἐμπεδοκλῆς 105.3 *αἷμα γὰρ ἀνθρώποις π ε ρ ι κ ά ρ δ ι ό ν ἐστι νόημα.*

περικαταλαμβάνεσθαι. Καταλαμβάνομαι ἀπὸ παντοῦ, be overtaken from everywhere, Ἀρχύτας 1.16 ⟨*τὰ*⟩ *δ' ὁμοίως φερόμενα, μὴ ἴσῳ δὲ τάχει, π ε ρ ι κ α τ α λ α μ β α ν ό μ ε ν α παρὰ τῶν ἐπιφερομένων τυπτόμενα ποιεῖν ψόφον.*

περιληπτός. Ἀντιληπτὸς/καταληπτός, perceivable/comprehensible, Ἐμπεδοκλῆς 2.8 *οὕτως οὔτ' ἐπιδερκτὰ τάδ' ἀνδράσιν οὔτ' ἐπακουστὰ οὔτε νόῳ π ε ρ ι λ η π τ ά.*

περιπάλαξις. Περιδίνηση/περίπλεξη, whirling/entanglement, Λεύκιππος A 15 (DK II 75,35) *τῇ τούτων* (sc. *τῶν ἀτόμων*) *συμπλοκῇ καὶ π ε ρ ι π α λ ά ξ ε ι πάντα γεννᾶσθαι* Δημόκριτος A 135 (DK II 118,20) *βούλεται δὲ σκαληνά* (sc. *σχήματα*) *λέγειν ἅπερ π ε ρ ι π ά λ α ξ ι ν ἔχει πρὸς ἄλληλα καὶ συμπλοκήν.* Πρβλ. *σύμμιξις.*

περιπαλάσσεσθαι. Περιδινοῦμαι, whirl, Δημόκριτος A 58 (DK II 99,10) *π ε ρ ι π α λ ά σ σ ε σ θ α ι* A 135 (DK II 118,23)

Ακαδημία Αθηνών / Academy of Athens

διὰ τὸ μὴ π ε ρ ι π α λ ά τ τ ε σ θ α ι 168 *φύσιν ... π ε ρ ι π α λ ά σ σ ε σ θ α ι.*

περιπέλεσθαι. Κυκλογυρίζω, revolve, ’Εμπεδοκλῆς 17.29 *καὶ* 110.8 *π ε ρ ι π λ ο μ έ ν ο ι ο χρόνοιο* 26.1 *π ε ρ ι π λ ο μ έ ν ο ι ο κύκλοιο.*

περισσὸς 1. Περίσσιος, excessive, ’Εμπεδοκλῆς 13 *οὐδέ τι τοῦ παντὸς κενεὸν πέλει οὐδὲ π ε ρ ι σ σ ὸ ν* **2** (*ἀντίθ. ἄρτιον*). Περιττὸς (*ἀριθμός*), odd number, Φιλόλαος 5 *ὅ γα μὰν ἀριθμὸς ἔχει δύο μὲν ἴδια εἴδη, π ε ρ ι σ σ ὸ ν καὶ ἄρτιον, τρίτον δὲ ἀπ’ ἀμφοτέρων μειχθέντων ἀρτιοπέριττον* Πυθαγόρειοι 5 (DK I 452,38) *π ε ρ ι τ τ ὸ ν καὶ ἄρτιον.*

περιτίθεσθαι. Περιάπτω, invest with, Δημόκριτος 252 *μήτε φιλονικέοντα παρὰ τὸ ἐπιεικὲς μήτε ἰσχὺν ἑαυτῷ π ε ρ ι τ ι θ έ μ ε ν ο ν παρὰ τὸ χρηστὸν τὸ τοῦ ξυνοῦ.*

περιφερής. Περικύκλιος, pericyclical, Δημόκριτος 164.11 *κατὰ τὴν τοῦ κύματος κίνησιν ... αἱ δὲ π ε ρ ι φ ε ρ ε ῖ ς ταῖς π ε ρ ι φ ε ρ έ σ ι ν ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν πραγμάτων τῆς ἐν τούτοις ὁμοιότητος.*

περίφοιτος. Γυρόστροφος, wandering around, Παρμενίδης 10.4 *ἔργα τε κύκλωπος πεύσῃ π ε ρ ί φ ο ι τ α σελήνης καὶ φύσιν.*

περιχεῖσθαι. Περιχέομαι/χύνομαι ὁλόγυρα, be poured all around, ’Αναξαγόρας 19 *Ἶριν δὲ καλέομεν τὸ ἐν τῇσιν νεφέλῃσιν ἀντιλάμπον τῷ ἡλίῳ. χειμῶνος οὖν ἐστι σύμβολον· τὸ γὰρ π ε ρ ι χ ε ό μ ε ν ο ν ὕδωρ τῷ νέφει ἄνεμον ἐποίησεν ἢ ἐξέχεεν ὄμβρον* Δημόκριτος A 153 (DK II 126,9) *ἡ μὲν πιμελὴ αὐτοῖς ἔξωθεν ... π ε ρ ι χ ε ῖ τ α ι.*

περιχωρεῖν. Περιστρέφομαι, revolve, ’Αναξαγόρας 9.2 *οὕτω τούτων π ε ρ ι χ ω ρ ο ύ ν τ ω ν τε καὶ ἀποκρινομένων ὑπὸ βίης τε καὶ ταχυτῆτος* 12.13-14-15-19 *καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νοῦς ἐκράτησεν, ὥστε π ε ρ ι χ ω ρ ῆ σ α ι τὴν ἀρχήν. καὶ πρῶτον ἀπό του σμικροῦ ἤρξατο π ε ρ ι χ ω ρ ε ῖ ν, ἐπὶ δὲ πλέον π ε ρ ι χ ω ρ ε ῖ, καὶ π ε ρ ι χ ω ρ ή σ ε ι ἐπὶ πλέον ... καὶ τὴν*

Ακαδημία Αθηνών / Academy of Athens

περιχώρησιν ταύτην, ἣν νῦν π ε ρ ι χ ω ρ έ ε ι τά τε ἄστρα καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ ἀὴρ καὶ ὁ αἰθὴρ οἱ ἀποκρινόμενοι. Πρβλ. *περιχώρησις, δίνη.*

περιχώρησις. Περιστροφὴ/περιδίνηση, rotation/revolution, Ἀναξαγόρας 12.12-19-21 *καὶ τῆς π ε ρ ι χ ω ρ ή σ ι ο ς τῆς συμπάσης νοῦς ἐκράτησεν, ὥστε περιχωρῆσαι τὴν ἀρχήν. καὶ πρῶτον ἀπό του σμικροῦ ἤρξατο περιχωρεῖν, ἐπὶ δὲ πλέον περιχωρεῖ, καὶ περιχωρήσει ἐπὶ πλέον ... καὶ τὴν π ε ρ ι χ ώ ρ η σ ι ν ταύτην, ἣν νῦν περιχωρέει τά τε ἄστρα καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ ἀὴρ καὶ ὁ αἰθὴρ οἱ ἀποκρινόμενοι. ἡ δὲ π ε ρ ι χ ώ ρ η σ ι ς αὐτὴ ἐποίησεν ἀποκρίνεσθαι* 13.4 *κινουμένων δὲ καὶ διακρινομένων ἡ π ε ρ ι χ ώ ρ η σ ι ς πολλῷ μᾶλλον ἐποίει διακρίνεσθαι.* Πρβλ. *περιχωρεῖν, δίνη.*

περιώσιος. Ὑπεράφθονος/ἔξοχος, exceeding/surpassing, Ἐμπεδοκλῆς 129.1 *ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ π ε ρ ι ώ σ ι α εἰδώς.* Πρβλ. *σοφός.*

περόνη. Περόνη/καρφί, pin, Παρμενίδης 1.20 *γόμφοις καὶ π ε ρ ό ν η σ ι ν ἀρηρότε.*

πεσσεύειν. Παίζω τοὺς πεσσούς, play the draughts, Ἡράκλειτος 52 *αἰὼν παῖς ἐστι παίζων, π ε σ σ ε ύ ω ν· παιδὸς ἡ βασιλήίη.*

πέταλον. Φύλλο/πλάκα, leaf/broad tile, Ἀναξιμένης 2a πλατὺν *ὡς π έ τ α λ ο ν* τὸν ἥλιον.

πέψις. Ὡρίμανση, maturation, Μενέστωρ 4 ὡς δὲ Μενέστωρ φησίν, ἡ μὲν *βλάστησις* αὐτῆς *ὀψία* διὰ *τὴν ψυχρότητα* τοῦ *τόπου*, ἡ δὲ *π έ ψ ι ς ταχεῖα* διὰ *τὴν ἀσθένειαν.* Πρβλ. *βλάστησις.*

πῇ. Πῶς/μὲ ποιὸ τρόπο, how/in what way, Παρμενίδης 8.7 *π ῇ πόθεν αὐξηθέν;* Ἐμπεδοκλῆς 3.9 *π ῇ δῆλον ἕκαστον* 17.33 *π ῇ δέ κε κἠξαπόλοιτο, ἐπεὶ τῶνδ' οὐδὲν ἔρημον;*

πηγὴ 1. Πηγή, source, Ξενοφάνης 30.1 *π η γ ὴ δ' ἐστὶ θά-*

Ακαδημία Αθηνών / Academy of Athens

λασσ(α) ὕδατος, π η γ ὴ δ' ἀνέμοιο **2.** Πηγαῖο ὕδωρ/νάμα, spring water/spring, 'Εμπεδοκλῆς 3.2 *ἐκ δ' ὁσίων στομάτων καθαρὴν ὀχετεύσατε π η γ ή ν.*

πηγνύναι. Πλάσσω/συγκροτῶ, fashion/construct, 'Εμπεδοκλῆς 86 *ἐξ ὧν ὄμματ' ἔ π η ξ ε ν ἀτειρέα δῖ' 'Αφροδίτη.* || **πήγνυσθαι 1.** Πλάσσομαι/συμπήγνυμαι, be formed/be constructed, 'Εμπεδοκλῆς 15.4 *πρὶν δὲ π ά γ ε ν τε βροτοὶ καὶ ⟨ἐπεὶ⟩ λύθεν, οὐδὲν ἄρ' εἰσιν* 75.1 *τῶν δ' ὅσ' ἔσω μὲν πυκνά, τὰ δ' ἔκτοθι μανὰ π έ π η γ ε* 107.1 *ἐκ τούτων ⟨γὰρ⟩ πάντα π ε π ή γ α σ ι ν ἁρμοσθέντα* **2.** Πήζω/στερεοποιοῦμαι, congeal/be solidified, 'Εμπεδοκλῆς 56 *ἅλς ἐ π ά γ η ῥιπῇσιν ἐωσμένος ἠελίοιο.* Πρβλ. *συμπήγνυσθαι.*

πημαίνειν (συνών. *βλάπτειν*, ἀντίθ. *ὠφελεῖν*). Προξενῶ μεγάλη βλάβη/κακουργῶ, cause great injury/commit a crime, Δημόκριτος 258 *κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντός.*

πήρωσις. 'Αναπηρία/βιολογικὴ ἀδυναμία, physical disability/biological weakness, Δημόκριτος 296 *γῆρας ὁλόκληρός ἐστι π ή ρ ω σ ι ς· πάντ' ἔχει καὶ πᾶσιν ἐνδεῖ.*

πιαίνειν. Παχύνω/πλουτίζω, fatten/enrich, Ξενοφάνης 2.22 *οὐ γὰρ π ι α ί ν ε ι ταῦτα μυχοὺς πόλεως.*

πίειρα (γῆ). Λιπαρὴ (γῆ)/εὔφορη, fat (earth)/fertile, Μενέστωρ 6 *ἡ δὲ π ί ε ι ρ α (*sc. *γῆ) πάμπαν οὐδενὶ ξυμφέρει φυτῷ.*

πικρός (ἀντίθ. *γλυκύς*). Πικρός, bitter, 'Εμπεδοκλῆς 90.1 *ὣς γλυκὺ μὲν γλυκὺ μάρπτε, π ι κ ρ ὸ ν δ' ἐπὶ π ι κ ρ ὸ ν ὄρουσεν, ὀξὺ δ' ἐπ' ὀξὺ ἔβη, δαερὸν δ' ἐποχεῖτο δαηρῷ* Δημόκριτος 9 *νόμῳ ... γλυκὺ ... νόμῳ π ι κ ρ ὸ ν* 125 *νόμῳ χροιή, νόμῳ γλυκύ, νόμῳ π ι κ ρ ὸ ν ... ἐτεῇ δ' ἄτομα καὶ κενόν.*

πίμπλασθαι. Πληροῦμαι/γεμίζω, be filled/fill, Παρμενίδης 1.13 *ἔνθα πύλαι Νυκτός τε καὶ Ἤματός εἰσι κελεύθων, καί σφας ὑπέρθυρον ἀμφὶς ἔχει καὶ λάινος οὐδός· αὐταὶ δ' αἰθέριαι π λ ῆ ν-*

Ακαδημία Αθηνών / Academy of Athens

τ α ι μεγάλοισι θυρέτροις· τῶν δὲ Δίκη πολύποινος ἔχει κληῖδας ἀμοιβούς 12.1 *αἱ γὰρ στεινότεραι π λ ῆ ν τ ο πυρὸς ἀκρήτοιο, αἱ δ' ἐπὶ ταῖς νυκτός, μετὰ δὲ φλογὸς ἵεται αἶσα· ἐν δὲ μέσῳ τούτων δαίμων ἣ πάντα κυβερνᾷ* Δημόκριτος 254 *οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἀνακηδέες γίγνονται καὶ ἀφροσύνης καὶ θράσεος π ί μ π λ α ν τ α ι.*

πίνειν. Πίνω, drink, Ξενοφάνης 1.17-19 *οὐχ ὕβρις π ί ν ε ι ν ὁπόσον κεν ἔχων ἀφίκοιο οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος. ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ π ι ὼ ν ἀναφαίνει* 22.3 *π ί ν ο ν τ α γλυκὺν οἶνον* Ἱππων 1 *τὰ γὰρ ὕδατα π ι ν ό μ ε ν α πάντα ἐκ τῆς θαλάσσης ἐστίν· οὐ γὰρ δή που τὰ φρέατα βαθύτερα ἢ ἡ θάλασσά ἐστιν ἐξ ὧν π ί ν ο μ ε ν* Δημόκριτος 235.5 *ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ π ί ν ω σ ι ν, αἱ δὲ λῦπαι πολλαί.*

πίπτειν. Πέφτω, fall, Ἐμπεδοκλῆς 100.13 *ἀλλά μιν εἴργει ἀέρος ὄγκος ἔσωθε π ε σ ὼ ν ἐπὶ τρήματα πυκνὰ* 104 *ἀραιότατα ξυνέκυρσε π ε σ ό ν τ α* 133.3 *οὐκ ἔστιν πελάσασθαι ἐν ὀφθαλμοῖσιν ἐφικτὸν ἡμετέροις ἢ χερσὶ λαβεῖν, ᾗπέρ τε μεγίστη πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα π ί π τ ε ι.* || (τά) **πεσόντα.** Πυθαγόρειοι C 3 (DK I 463,13) *τὰ δὲ π ε σ ό ν τ α μὴ ἀναιρεῖσθαι,* ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν.

πιστεύειν 1. Πιστεύω/ἔχω ἐμπιστοσύνη, believe/trust, Δημόκριτος 67 *μὴ πᾶσιν, ἀλλὰ τοῖς δοκίμοισι π ι σ τ ε ύ ε ι ν* **2.** Πιστεύω/εἶμαι πεπεισμένος, believe/be confident, Ἀρχύτας 3.12 *π ι σ τ ε ύ ο ν τ ε ς ἀμφότεροι διὰ τούτω τὸ ἴσον ἕξειν.*

πίστις (ἀντίθ. *ἀπιστίη*) **1.** Γνώση, knowledge, Παρμενίδης 1.30 *χρεὼ δέ σε πάντα πυθέσθαι ... βροτῶν δόξας, ταῖς οὐκ ἔνι π ί σ τ ι ς ἀληθὴς* 8.12-28 *οὐδέ ποτ' ἐκ μὴ ἐόντος ἐφήσει π ί σ τ ι ο ς ἰσχὺς γίγνεσθαί τι παρ' αὐτὸ ... ἀπῶσε δὲ π ί σ τ ι ς ἀληθὴς* Ἐμπεδοκλῆς 71.1 *εἰ δέ τί σοι περὶ τῶνδε λιπόξυλος ἔπλετο π ί σ τ ι ς.* || Φιλόλαος A 13 (DK I 402,12) *Π ί σ τ ι ς γε μὴν καλεῖται* (sc. ἡ δεκάς), ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μορίοις περὶ τῶν ὄντων οὐ παρέργως καταλαμβανομένοις *π ί σ τ ι ν* βεβαίαν ἔχομεν **2.** Ἐμπιστοσύνη, trust, Ἐμπεδοκλῆς 3.10-13 *μήτε*

Ακαδημία Αθηνών / Academy of Athens

τιν' ὄψιν ἔχων π ί σ τ ε ι πλέον ἢ κατ' ἀκουὴν ... μήτε τι τῶν ἄλλων, ὁπόσῃ πόρος ἐστὶ νοῆσαι, γυίων π ί σ τ ι ν ἔρυκε 114.3 *μάλα δ' ἀργαλέη γε τέτυκται ἀνδράσι καὶ δύσζηλος ἐπὶ φρένα π ί σ τ ι ο ς ὁρμὴ* **3.** 'Απόδειξη/τεκμήριο, demonstration/proof, Δημόκριτος 125 *τάλαινα φρήν, παρ' ἡμέων (sc. τῶν αἰσθήσεων) λαβοῦσα τὰς π ί σ τ ε ι ς ἡμέας καταβάλλεις; πτῶμά τοι τὸ κατάβλημα.*

πιστός. 'Αξιόπιστος/βέβαιος, trusted/sure, Παρμενίδης 8.50 *ἐν τῷ σοι παύω π ι σ τ ὸ ν λόγον ἠδὲ νόημα ἀμφὶς ἀληθείης.*

πίστωμα. 'Αξιόπιστο μήνυμα, trustworthy message, 'Εμπεδοκλῆς 4.2 *ὡς δὲ παρ' ἡμετέρης κέλεται π ι σ τ ώ μ α τ α Μούσης, γνῶθι διασσηθέντος ἐνὶ σπλάγχνοισι λόγοιο.*

πίσυνος. Πειθήνιος/ὑπάκουος, trusting/obedient, 'Εμπεδοκλῆς 115.14 *τῶν καὶ ἐγὼ νῦν εἰμι, φυγὰς θεόθεν καὶ ἀλήτης, νείκεϊ μαινομένῳ π ί σ υ ν ο ς.*

πιφαύσκειν. 'Αποκαλύπτω/ἐκφράζω, make manifest/utter, 'Εμπεδοκλῆς 17.15 *ὡς γὰρ καὶ πρὶν ἔειπα π ι φ α ύ σ κ ω ν πείρατα μύθων.* Πρβλ. *λέγειν, φάσκειν, φατίζειν, φράζειν, φαίνειν, δηλοῦν.*

πλάδη. Πλάσιμο, shaping, 'Εμπεδοκλῆς 75.2 *τῶν δ' ὅσ' ἔσω μὲν πυκνά, τὰ δ' ἔκτοθι μανὰ πέπηγε, Κύπριδος ἐν παλάμῃσι π λ ά δ η ς τοιῆσδε τυχόντα.*

πλάζεσθαι 1. 'Εκτινάσσομαι/περιπλανιέμαι, be shaken off/go astray, Παρμενίδης 6.5 *εἰδότες οὐδὲν π λ ά τ τ ο ν τ α ι* 8.28 *γένεσις καὶ ὄλεθρος τῆλε μάλ' ἐ π λ ά χ θ η σ α ν* 'Εμπεδοκλῆς 20.5 *'Ερίδεσσι π λ ά ζ ε τ α ι ἄνδιχ' ἕκαστα* 57.2 *γυμνοὶ δ' ἐ π λ ά ζ ο ν τ ο βραχίονες.* Πρβλ. *ἀποπλάζεσθαι, πλανᾶσθαι* **2.** Μετακινοῦμαι, move, Δημόκριτος 126 *ὅσα κυματοειδῶς ἀνὰ τὴν πορείαν π λ ά ζ ε τ α ι.*

πλακτός. Περιπλάνητος, erring, Παρμενίδης 6.6 *ἀμηχανίη γὰρ ἐν αὐτῶν στήθεσιν ἰθύνει π λ α κ τ ὸ ν νόον.*

Ακαδημία Αθηνών / Academy of Athens

πλανᾶν. Ἐκτρέπω, lead astray, Δημόκριτος A 135 (DK II 118,11) τοὺς ⟨δ'⟩ ἄλλους ταράττειν, ὅτι διαδύνων (sc. ὁ γλυκὺς χυλὸς) *π λ α ν ᾷ τὰ ἄλλα καὶ ὑγραίνει.* || **πλανᾶσθαι 1.** Παραπλανῶμαι/σφάλλω, be misled/err, Παρμενίδης 8.54 *μορφὰς γὰρ κατέθεντο δύο γνώμας ὀνομάζειν· τῶν μίαν οὐ χρεών ἐστιν — ἐν ᾧ π ε π λ α ν η μ έ ν ο ι εἰσὶν* **2.** Περιπλανιέμαι, wander, Ἐμπεδοκλῆς 57.3 *ὄμματά τ' οἰ(α) ἐ π λ α ν ᾶ τ ο πενητεύοντα μετώπων* 58 *μουνομελῆ ... γυῖα ... ἐ π λ α ν ᾶ τ ο.* Πρβλ. *πλάζεσθαι.*

πλάνη. Περιπλάνηση, wandering, Δημόκριτος 148 *ὁ γὰρ ὀμφαλὸς πρῶτον ἐν μήτρῃσιν ... ἀγκυρηβόλιον σάλου καὶ π λ ά ν η ς ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γεννωμένῳ καρπῷ καὶ μέλλοντι.* Πρβλ. *πλανᾶσθαι.*

πλάνης. Πλανήτης, planet, Δημόκριτος 5b (τίτλ.) *Περὶ π λ α ν ή τ ω ν.*

πλάσμα. Πλάσμα τῆς φαντασίας, creature of fantasy/figment of imagination, Ξενοφάνης 1.22 *οὔτι μάχας διέπων Τιτήνων οὐδὲ Γιγάντων οὐδέ ⟨τε⟩ Κενταύρων, π λ ά σ μ α τ α τῶν προτέρων.*

πλάτος (συνών. *εὖρος*). Πλάτος, breadth/width, Ἐμπεδοκλῆς 17.20 *ἴση μῆκός τε π λ ά τ ο ς τε (sc. Φιλότης).* Πρβλ. *πλατύς.*

πλάττεσθαι. Πλάθω/ἐπινοῶ, fabricate/invent, Παρμενίδης 6.5 *ἦν δὴ βροτοὶ εἰδότες οὐδὲν π λ ά τ τ ο ν τ α ι, δίκρανοι* Δημόκριτος 119 *ἄνθρωποι τύχης εἴδωλον ἐ π λ ά σ α ν τ ο πρόφασιν ἰδίης ἀβουλίης.*

πλατὺς (συνών. *εὐρύς*, ἀντίθ. *στεινός*). Πλατὺς/κραταιός, broad/powerful, Ἐμπεδοκλῆς 30.3 *ὅς σφιν ἀμοιβαῖος π λ α τ έ ο ς παρ' ἐλήλαται ὅρκου* 115.2 *ἔστιν Ἀνάγκης χρῆμα, θεῶν ψήφισμα παλαιόν, ἀίδιον, π λ α τ έ ε σ σ ι κατεσφρηγισμένον ὅρκοις.* Πρβλ. *πλάτος.*

πλέον. Βλ. **πολύς.**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

πλεονεξία 1 (ἀντίθ. *ἰσότας*). Πλειονοκτησία, larger possession than one's share, Ἀρχύτας 3.8 *πλεονεξίατε γὰρ οὐκ ἔστι τούτου γενομένου καὶ ἰσότας ἔστιν* **2.** Πλεονεξία/ἀπληστία, greediness/greed, Δημόκριτος 86 *πλεονεξίη τὸ πάντα λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν.*

πλευρόν. Πλευρό, rib/side, Διογένης 6.26 *σχίζονται δὲ καὶ ἐπὶ τὴν κοιλίαν καὶ τὸ πλευρὸν πολλαὶ ἀπ' αὐτῶν καὶ λεπταὶ φλέβες.*

πλέως (τύπ. *πλέος*, συνών. *ἔμπλεος*, *ναστός*, ἀντίθ. *κενός*). Πλήρης/γεμάτος, full, Παρμενίδης 9.3 *πᾶν πλέον ἐστὶν ὁμοῦ φάεος καὶ νυκτὸς ἀφάντου ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδὲν* Μέλισσος 7(7)-(8)-(9)-(10) *οὐδὲ κινεῖται· ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῇ, ἀλλὰ πλέων ἐστὶν ... πυκνὸν δὲ καὶ ἀραιὸν οὐκ ἂν εἴη. τὸ γὰρ ἀραιὸν οὐκ ἀνυστὸν πλέων εἶναι ὁμοίως τῷ πυκνῷ ... κρίσιν δὲ ταύτην χρὴ ποιήσασθαι τοῦ πλέω καὶ τοῦ μὴ πλέω· εἰ μὲν οὖν χωρεῖ τι ἢ εἰσδέχεται, οὐ πλέων· εἰ δὲ μήτε χωρεῖ μήτε εἰσδέχεται, πλέων ... ἀνάγκη τοίνυν πλέων εἶναι, εἰ κενὸν μὴ ἔστιν. εἰ τοίνυν πλέων ἐστίν, οὐ κινεῖται.* || Διογένης 10 τὸ δὲ *πλῆ* εἰρημένον παρὰ Διογένει τῷ Ἀπολλωνιάτῃ ἀντὶ τοῦ πλέη θηλυκοῦ ἐπιθετικῶς ἄγνωστον τοῖς ἄλλοις.

πληγή (τύπ. *πλαγά*) **1.** Πλῆγμα/κτύπημα, wound/blow, Ἡράκλειτος 11 *πᾶν γὰρ ἑρπετὸν πληγῇ νέμεται* **2.** Πλῆγμα/κρούση, blow/strike, Ἀρχύτας 1.12-19-25-28 *οὐ δυνατόν ἐστιν ἦμεν φόφον μὴ γενηθείσας πλαγᾶς τινων ποτ' ἄλλαλα. πλαγὰν δ' ἔφαν γίνεσθαι, ὅκκα τὰ φερόμενα ἀπαντιάξαντα ἀλλάλοις συμπέτῃ ... πολλοὺς μὲν δὴ αὐτῶν (sc. τῶν φόφων) οὐκ εἶναι ἁμῶν τᾷ φύσει οἵους τε γινώσκεσθαι, τοὺς μὲν διὰ τὰν ἀσθένειαν τᾶς πλαγᾶς, τοὺς δὲ διὰ τὸ μᾶκος τᾶς ἀφ' ἁμῶν ἀποστάσιος, τινὰς δὲ καὶ διὰ τὰν ὑπερβολὰν τοῦ μεγέθεος ... τὰ μὲν οὖν ποτιπίπτοντα ποτὶ τὰν αἴσθασιν ἃ μὲν ἀπὸ τᾶν πλαγᾶν ταχὺ παραγίνεται καὶ ⟨ἰσχυρῶς⟩, ὀξέα φαίνεται, τὰ δὲ βραδέως καὶ ἀσθενῶς, βαρέα δοκοῦντι ἦμεν. αἰ γάρ τις ῥάβδον λαβὼν κινοῖ νωθρῶς τε καὶ ἀσθενέως, τᾷ πλαγᾷ βαρὺν ποιήσει τὸν φόφον.*

Ακαδημία Αθηνών / Academy of Athens

πλῆθος 1. Πλῆθος/πολλότης, great number/multitude, Ἀναξαγόρας 1.1-6 *ὁμοῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ π λ ῆ θ ο ς καὶ σμικρότητα ... πάντα γὰρ ἀήρ τε καὶ αἰθὴρ κατεῖχεν, ἀμφότερα ἄπειρα ἐόντα· ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖς σύμπασι καὶ π λ ή θ ε ι καὶ μεγέθει* 4.18 *καὶ γῆς πολλῆς ἐνεούσης καὶ σπερμάτων ἀπείρων π λ ῆ θ ο ς οὐδὲν ἐοικότων ἀλλήλοις* 6.2-7 *καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μεγάλου καὶ τοῦ σμικροῦ π λ ῆ θ ο ς, καὶ οὕτως ἂν εἴη ἐν παντὶ πάντα ... ἐν πᾶσι δὲ πολλὰ ἔνεστι καὶ τῶν ἀποκρινομένων ἴσα π λ ῆ θ ο ς ἐν τοῖς μείζοσί τε καὶ ἐλάσσοσι* 7 *ὥστε τῶν ἀποκρινομένων μὴ εἰδέναι τὸ π λ ῆ θ ο ς μήτε λόγῳ μήτε ἔργῳ.* || Διογένης 5.22 *ἅτε οὖν πολυτρόπου ἐούσης τῆς ἑτεροιώσιος πολύτροπα καὶ τὰ ζῷα καὶ πολλὰ καὶ οὔτε ἰδέαν ἀλλήλοις ἐοικότα οὔτε δίαιταν οὔτε νόησιν ὑπὸ τοῦ π λ ή θ ε ο ς τῶν ἑτεροιώσεων* **2.** Πλῆθος/μέγεθος mass/magnitude, Ἀναξαγόρας 2 *καὶ γὰρ ἀήρ τε καὶ αἰθὴρ ἀποκρίνεται ἀπὸ τοῦ πολλοῦ τοῦ περιέχοντος, καὶ τό γε περιέχον ἄπειρόν ἐστι τὸ π λ ῆ θ ο ς* 3.4 *καὶ ἴσον ἐστὶ τῷ σμικρῷ π λ ῆ θ ο ς, πρὸς ἑαυτὸ δὲ ἕκαστόν ἐστι καὶ μέγα καὶ σμικρόν.* Πρβλ. *πολύς.*

πλημμέλεια. Πλημμέλεια/ἀπρέπεια, fault, Δημόκριτος 46 *μεγαλοψυχίη τὸ φέρειν πραέως π λ η μ μ έ λ ε ι α ν.*

πλημμελής. Πλημμελὴς/ἄπρεπος, wrong/improper, Δημόκριτος 181.6 *λάθρῃ μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ νόμου, τὸν δὲ ἐς τὸ δέον ἠγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λάθρῃ οὔτε φανερῶς ἔρδειν τι π λ η μ μ ε λ έ ς.*

πλούσιος (ἀντίθ. *πένης*). Πλούσιος, rich, Δημόκριτος 283 *οὔτε οὖν π λ ο ύ σ ι ο ς ⟨ὁ⟩ ἐνδέων οὔτε πένης ὁ μὴ ἐνδέων* Ἀρχύτας 3.11 *οἱ πένητες λαμβάνοντι παρὰ τῶν δυναμένων, οἵ τε π λ ο ύ σ ι ο ι διδόντι τοῖς δεομένοις.* Πρβλ. *οἱ δυνάμενοι.*

πλοῦτος (ἀντίθ. *πενίη*). Πλοῦτος, wealth, Ἡράκλειτος 125a *μὴ ἐπιλίποι ὑμᾶς π λ ο ῦ τ ο ς ... Ἐφέσιοι, ἵν' ἐξελέγχοισθε πονηρευόμενοι* Δημόκριτος 77 *δόξα καὶ π λ ο ῦ τ ο ς ἄνευ ξυνέσιος οὐκ ἀσφαλέα κτήματα* 185 *κρέσσονές εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀμαθῶν π λ ο ῦ τ ο ς* 218 *π λ ο ῦ τ ο ς ἀπὸ κακῆς*

Ακαδημία Αθηνών / Academy of Athens

ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται 283 *πενίη π λ ο ῦ τ ο ς ὀνόματα ἐνδείης καὶ κόρου* 284 *ἦν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει· σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα π λ ο ύ τ ῳ ποιέει.* || 'Εμπεδοκλῆς 129.2 *ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς, ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο π λ ο ῦ τ ο ν, παντοίων τε μάλιστα σοφῶν ⟨τ'⟩ ἐπιήρανος ἔργων* 132.1 *ὄλβιος, ὃς θείων πραπίδων ἐκτήσατο π λ ο ῦ τ ο ν, δειλὸς δ', ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.*

πλυντρίς. Πλυντρὶς γῆ/ἀργιλῶδες χῶμα, clayish earth/clay, Μενέστωρ 6 τοιαύτην δ' εἶναι τὴν *π λ υ ν τ ρ ί δ α*, χρῶμα δ' ὑπόλευκον.

πνεῦμα 1. Κοσμικὴ πνοή, cosmic breath, 'Αναξιμένης 2 *οἷον ἡ ψυχὴ ... ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον π ν ε ῦ μ α καὶ ἀὴρ περιέχει.* Πρβλ. *αἰθὴρ* **2** (συνών. *πνοιή*). Πνοὴ/φύσημα, breath/blowing, 'Εμπεδοκλῆς 84.4 *ἅψας παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς, οἵ τ' ἀνέμων μὲν π ν ε ῦ μ α διασκιδνᾶσιν ἀέντων, φῶς δ' ἔξω διαθρῴσκον ... λάμπεσκεν.* || 'Αρχύτας 1.32-37-42-51 *ἀλλὰ καὶ ὄκκα ἄμμες ἢ λέγοντες ἢ ἀείδοντες χρήζομές τι μέγα φθέγξασθαι καὶ ὀξύ, σφοδρῷ τῷ π ν ε ύ μ α τ ι φθεγγόμενοι ... τωὐτὸ δὲ καὶ ταῖς φωναῖς συμβήσεται· τᾷ μὲν ὑπὸ [τῶ] ἰσχυρῶ τῶ π ν ε ύ μ α τ ο ς φερομένᾳ μεγάλᾳ τε ἦμεν καὶ ὀξέᾳ ... τὸ ἐκ τῶ στόματος φερόμενον π ν ε ῦ μ α ... ὀξύτερον ἄχον ἀφίησιν ... τὸ γὰρ αὐτὸ π ν ε ῦ μ α διὰ μὲν τῶ μακρῶ τόπω ἀσθενὲς ἐκφέρεται, διὰ δὲ τῶ μείονος σφοδρὸν* **3.** 'Αὴρ/πνοὴ ἀέρος, air/breath of air, 'Εμπεδοκλῆς 100.15-21 *π ν ε ύ μ α τ ο ς ἐλλείποντος ἐσέρχεται αἴσιμον ὕδωρ ... ἔμπαλιν ἢ πρίν, π ν ε ύ μ α τ ο ς ἐμπίπτοντος ὑπεκθέει αἴσιμον ὕδωρ* 111.5 *παύσεις δ' ἀκαμάτων ἀνέμων μένος ... καὶ πάλιν ... παλίντιτα π ν ε ύ μ α τ (α) ἐπάξεις* **4.** Ἔμπνευση, inspiration, Δημόκριτος 18 *ποιητὴς δὲ ἅσσα μὲν ἂν γράφῃ μετ' ἐνθουσιασμοῦ καὶ ἱεροῦ π ν ε ύ μ α τ ο ς, καλὰ κάρτα ἐστίν.*

πνοιὴ 1. Πνοὴ/ἀνάσα, breath, 'Εμπεδοκλῆς 102 *ὧδε μὲν οὖν π ν ο ι ῆ ς τε λελόγχασι πάντα καὶ ὀσμῶν* **2** (συνών. *πνεῦμα*). Πνοὴ/φύσημα, blast of wind, 'Εμπεδοκλῆς 111.4 *παύσεις δ'*

Ακαδημία Αθηνών / Academy of Athens

ἀκαμάτων ἀνέμων μένος οἵ τ' ἐπὶ γαῖαν ὀρνύμενοι π ν ο ι α ῖ σ ι καταφθινύθουσιν ἀρούρας.

ποδηγετεῖν. Ποδηγετῶ/χειρίζομαι, guide/manage, Δημόκριτος 173 *ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ 'πιστῆται π ο δ η γ ε τ ε ῖ ν μηδὲ ὀχεῖν εὐπόρως.*

ποθέειν. 'Επιθυμῶ/ποθῶ, desire/long for, 'Εμπεδοκλῆς 110.9 *ἦ σ' ἄφαρ ἐκλείψουσι περιπλομένοιο χρόνοιο σφῶν αὐτῶν π ο θ έ - ο ν τ α φίλην ἐπὶ γένναν ἱκέσθαι.* || **ποθεῖσθαι.** 'Εμπεδοκλῆς 21.8 *ἐν δὲ Κότῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται, σὺν δ' ἔβη ἐν Φιλότητι καὶ ἀλλήλοισι π ο θ ε ῖ τ α ι.* Πρβλ. *ἐπιθυμεῖν, πόθος.*

πόθεν 1. 'Από̀ ποῦ, whence, Ξενοφάνης 22.4 *τίς π ό - θ ε ν εἶς ἀνδρῶν* Παρμενίδης 8.7 *πῇ π ό θ ε ν αὐξηθέν;* 'Εμπεδοκλῆς 14 *π ό θ ε ν οὖν τί κ' ἐπέλθοι;* 17.32 *καὶ π ό θ ε ν ἐλθόν;* **2.** 'Από̀ κάπου, from some place, Ἵππων 1 *οὕτω γὰρ οὐκ ⟨ἂν⟩ ἐκ τῆς θαλάσσης τὸ ὕδωρ εἴη, ἀλλ' ἄλλοθέν π ο θ ε ν.*

πόθος. Πόθος, yearning/longing, 'Εμπεδοκλῆς 64 *τῷ δ' ἐπὶ καὶ π ό θ ο ς εἶσι δι' ὄψιος ἀμμιμνήσκων (?).*

ποιεῖν 1. Ποιῶ/πλαστουργῶ, shape, Ξενοφάνης 15.4 *βόες δέ τε βουσὶν ὁμοίας καί ⟨κε⟩ θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐ π ο ί - ο υ ν τοιαῦθ' οἷόν περ καὐτοὶ δέμας εἶχον ⟨ἕκαστοι⟩* **2.** Πράττω/ἐνεργῶ, do/act, 'Ηράκλειτος 1 *τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες π ο ι ο ῦ σ ι ν, ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται* 5 *μαίνεσθαι δ' ἂν δοκοίη, εἴ τις αὐτὸν ἀνθρώπων ἐπιφράσαιτο οὕτω π ο ι έ ο ν τ α* 73 *οὐ δεῖ ὥσπερ καθεύδοντας π ο ι ε ῖ ν καὶ λέγειν* 112 *σωφρονεῖν ἀρετὴ μεγίστη, καὶ σοφίη ἀληθέα λέγειν καὶ π ο ι ε ῖ ν κατὰ φύσιν ἐπαΐοντας* Δημόκριτος 258 *καὶ ταῦτα ὁ π ο ι ῶ ν εὐθυμίης (?) ... ἐν παντὶ κόσμῳ μέζω μοῖραν μεθέξει* 259 *ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὼν εἶναι π ο ι ε ῖ ν* 264 *μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ ... ἀλλ' ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον νόμον τῇ ψυχῇ καθεστάναι, ὥστε μηδὲν π ο ι ε ῖ ν ἀνεπιτήδειον* 266.8 *ἀλλά τις ἢ θεσμὸς ἤ τι*

Ακαδημία Αθηνών / Academy of Athens

ἄλλο ἀμυνεῖ τῷ τὰ δίκαια π ο ι ε ῦ ν τ ι 279 *τοῖς παισὶ ... καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἀτηρὸν π ο ι έ ω σ ι διὰ χειρὸς ἔχοντες.* || **κακῶς ποιεῖν - εὖ ποιεῖν.** Δημόκριτος 265 *ὥσπερ ⟨γὰρ τὸν⟩ τὰς παρακαταθήκας ἀποδιδόντα οὐ χρὴ ἐπαινεῖσθαι, τὸν δὲ μὴ ἀποδιδόντα κ α κ ῶ ς ἀκούειν καὶ π ά σ χ ε ι ν, οὕτω καὶ τὸν ἄρχοντα. οὐ γὰρ ἐπὶ τούτῳ ἡρέθη ὡς κ α κ ῶ ς π ο ι ή σ ω ν, ἀλλ' ὡς εὖ* **3.** Ποιῶ/δημιουργῶ, make/create, Ἡράκλειτος 30 *κόσμον τόνδε, τὸν αὐτὸν ἁπάντων, οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐ π ο ί η σ ε ν.* || Παρμενίδης 1.18 *ταὶ δὲ θυρέτρων χάσμ' ἀχανὲς π ο ί η σ α ν* **4.** Ποιῶ/καθιστῶ, make/constitute, Ἡράκλειτος 53 *Πόλεμος ... τοὺς μὲν δούλους ἐ π ο ί η σ ε τοὺς δὲ ἐλευθέρους.* || Ἡράκλειτος 111 *νοῦσος ὑγιείην ἐ π ο ί η σ ε ν ἡδὺ καὶ ἀγαθόν, λιμὸς κόρον, κάματος ἀνάπαυσιν* Ζήνων 2 *εἰ γὰρ ἄλλῳ ὄντι ... προσγένοιτο, οὐδὲν ἂν μεῖζον π ο ι ή σ ε ι ε ν* Δημόκριτος 81 *τὸ ἀεὶ μέλλειν ἀτελέας π ο ι ε ῖ τὰς πρήξιας* 211 *σωφροσύνη τὰ τερπνὰ ἀέξει καὶ ἡδονὴν ἐπιμείζονα π ο ι ε ῖ* 284 *ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει· σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα πλούτῳ π ο ι έ ε ι* Ἀρχύτας 1.28-45 *αἰ γάρ τις ῥάβδον λαβὼν κινοῖ νωθρῶς τε καὶ ἀσθενέως, τᾷ πλαγᾷ βαρὺν π ο ι ή σ ε ι τὸν φόφον ... ὥστε δῆλον ὅτι ἁ ταχεῖα κίνασις ὀξὺν π ο ι ε ῖ, ἁ δὲ βραδεῖα βαρὺν τὸν ἄχον* **5.** Παράγω/προκαλῶ, produce/bring about, Ἀναξαγόρας 9 *βίην δὲ ἡ ταχυτὴς π ο ι ε ῖ* 19 *Ἶριν δὲ καλέομεν ... τὸ γὰρ περιχεόμενον ὕδωρ τῷ νέφει ἄνεμον ἐ π ο ί η σ ε ν ἢ ἐξέχεεν ὄμβρον* Δημόκριτος 186 *ὁμοφροσύνη φιλίην π ο ι ε ῖ* 219 *μέζονες γὰρ ὀρέξεις μέζονας ἐνδείας π ο ι ε ῦ σ ι ν* Ἀρχύτας 1.17 *⟨τὰ⟩ δ' ὁμοίως φερόμενα ... περικαταλαμβανόμενα παρὰ τῶν ἐπιφερομένων τυπτόμενα π ο ι ε ῖ ν φόφον.* || Ἀναξαγόρας 12.22 *ἡ δὲ περιχώρησις αὐτὴ ἐ π ο ί η σ ε ν ἀποκρίνεσθαι* 13.5 *κινουμένων δὲ καὶ διακρινομένων ἡ περιχώρησις πολλῷ μᾶλλον ἐ π ο ί ε ι διακρίνεσθαι.* || **ποιεῖσθαι 1.** Κατασκευάζω/διαμορφώνω, construct/shape, Ἡράκλειτος 129 *Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐ π ο ι ή σ α τ ο ἑαυτοῦ σοφίην, πολυμαθίην, κακοτεχνίην* **2.** Πράττω/ἐνεργῶ, do/act, Δημόκριτος 265 *τῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται μᾶλλον ἢ τῶν εὖ π ε π ο ι η μ έ ν ω ν. καὶ γὰρ δίκαιον οὕτως* **3.** Δημιουργοῦμαι/διαμορφώνομαι, be created/be shaped, Δημόκριτος 278.9 *ἡ μὲν φύσις τοιαύτη πάντων*

Ακαδημία Αθηνών / Academy of Athens

ἐστὶν ὅσσα ψυχὴν ἔχει· τῷ δὲ δὴ ἀνθρώπῳ νομίζον ἤδη π ε π ο ί η τ α ι, ὥστε καὶ ἐπαύρεσίν τινα γίγνεσθαι ἀπὸ τοῦ ἐκγόνου **4.** Καθιστῶ, constitute, Ἀρχύτας 2.10 *τούτων δ' οἱ μείζονες ἴσον π ο ι ο ῦ ν τ α ι τὸ διάστημα καὶ οἱ μείους.* || **ποιοῦμαι κρίσιν.** Διακρίνω, distinguish, Μέλισσος 7(9) *κ ρ ί σ ι ν δὲ ταύτην χρὴ π ο ι ή σ α σ θ α ι τοῦ πλέω καὶ τοῦ μὴ πλέω· εἰ μὲν οὖν χωρεῖ τι ἢ εἰσδέχεται, οὐ πλέων.* || **ποιεῖσθαι πομπήν.** Τελῶ πομπή, conduct a procession, Ἡράκλειτος 15 *εἰ μὴ γὰρ Διονύσῳ π ο μ π ὴ ν ἐ π ο ι ο ῦ ν τ ο καὶ ὕμνεον ἆσμα αἰδοίοισιν, ἀναιδέστατα εἴργαστ' ἄν.* || **ποιεῖσθαι σπονδάς.** Κάνω σπονδή, make a libation, Πυθαγόρειοι C 6 (D K I 466,7) *σ π ο ν δ ά ς τε π ο ι ε ῖ σ θ α ι τοῖς θεοῖς κατὰ τὸ οὗς τῶν ἐκπωμάτων.* || **ποιεῖσθαι λόγον.** Δίδω προσοχή, give attention to/pay heed, Δημόκριτος 48 *μωμεομένων φλαύρων ὁ ἀγαθὸς οὐ π ο ι ε ῖ τ α ι λ ό γ ο ν* 187 *ἀνθρώποις ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος λ ό γ ο ν π ο ι ε ῖ σ θ α ι.* ||**ποιεῖσθαι τὰς ἡδονάς.** Ἀντλῶ ἡδονὴ/βρίσκω εὐχαρίστηση, derive pleasure/find satisfaction, Δημόκριτος 189 *τοῦτο δ' ἂν εἴη, εἴ τις μὴ ἐπὶ τοῖς θνητοῖσι τ ὰ ς ἡ δ ο ν ὰ ς π ο ι ο ῖ τ ο* 235.2 *ὅσοι ἀπὸ γαστρὸς τ ὰ ς ἡ δ ο ν ὰ ς π ο ι έ ο ν τ α ι ὑπερβεβληκότες τὸν καιρὸν ἐπὶ βρώσεσιν ἢ πόσεσιν ἢ ἀφροδισίοισιν.* || **ποιεῖσθαι ὅρκους.** Ὀρκίζομαι/δίδω ὅρκο, swear/take an oath, Δημόκριτος 239 *ὅ ρ κ ο υ ς οὓς π ο ι έ ο ν τ α ι ἐν ἀνάγκησιν ἐόντες οὐ τηρέουσιν οἱ φλαῦροι, ἐπὴν διαφύγωσιν.* || **ποιεῖσθαι παῖδα ἐκ τῶν φίλων.** Ἀποκτῶ παιδὶ μὲ υἱοθεσία, obtain a child through adoption, Δημόκριτος 277.2 *ὅτεῳ χρήμη τεά ἐστι π α ῖ δ α π ο ι ή σ α σ θ α ι, ἐ κ τ ῶ ν φ ί λ ω ν τεύ μοι δοκεῖ ἄμεινον εἶναι.* || **ποιεῖσθαι παῖδα ἀπὸ ἑωυτοῦ.** Ἀποκτῶ παιδί, engender a child, Δημόκριτος 277.8 *ἢν δέ τις π ο ι ῆ τ α ι (sc. π α ῖ δ α) ἀ π ὸ ἑ ω υ τ ο ῦ, πολλοὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γάρ, ὃς ἂν γένηται, τούτῳ χρῆσθαι.*

ποιητής. Ποιητής, poet, Δημόκριτος 18 *π ο ι η τ ὴ ς δὲ ἄσσα μὲν ἂν γράφῃ μετ' ἐνθουσιασμοῦ καὶ ἱεροῦ πνεύματος, καλὰ κάρτα ἐστίν.* Πρβλ. *ποίησις.*

ποίησις. Ποίησις, poetry, Δημόκριτος 16a (τίτλ.) Περὶ *π ο ι ή σ ι ο ς.* Πρβλ. *ποιητής.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ποικίλος. Ποικίλος/γεμάτος ἀπὸ διαφορετικὰ ¦ πράγματα, various/full of different things, Δημόκριτος 149 *π ο ι κ ί λ ο ν τι καὶ πολυπαθὲς κακῶν ταμιεῖον.*

ποιπνύειν. Πνευστιῶ/ἀσθμαίνω, be short of breath/be out of breath, Ἐμπεδοκλῆς 73.2 *ὡς δὲ τότε χθόνα Κύπρις, ἐπεί τ' ἐδίηνεν ἐν ὄμβρῳ, εἴδεα π ο ι π ν ύ ο υ σ α θοῷ πυρὶ δῶκε κρατῦναι.*

πολέμιος 1. Πολέμιος/ἐχθρικός, hostile, Φιλόλαος 11.24 *ψεῦδος δὲ οὐδαμῶς ἐς ἀριθμὸν ἐπιπνεῖ· π ο λ έ μ ι ο ν γὰρ καὶ ἐχθρὸν τᾷ φύσει τὸ ψεῦδος* Δημόκριτος 259.2 *ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων γεγράφαται τῶν π ο λ ε μ ί ω ν, οὕτω καὶ κατὰ ἀνθρώπων* **2.** Πολέμιος/ἐχθρός, enemy, Δημόκριτος 214 *ἀνδρεῖος οὐχ ὁ τῶν π ο λ ε μ ί ω ν μόνον, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρέσσων* 259.4 *κατὰ νόμους τοὺς πατρίους κτείνειν π ο λ έ μ ι ο ν ἐν παντὶ κόσμῳ.*

πόλεμος (ἀντίθ. *εἰρήνη*). Πόλεμος, war, Ἡράκλειτος 53 *Π ό λ ε μ ο ς πάντων μὲν πατήρ ἐστι* 67 *ὁ θεὸς ἡμέρη εὐφρόνη, χειμὼν θέρος, π ό λ ε μ ο ς εἰρήνη, κόρος λιμὸς* 80 *εἰδέναι δὲ χρὴ τὸν π ό λ ε μ ο ν ἐόντα ξυνόν.* || Δημόκριτος 250 *ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα καὶ ταῖς πόλεσι τοὺς π ο λ έ μ ο υ ς δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ.* Πρβλ. *ἔρις.*

πολιήτης. Πολίτης, citizen, Δημόκριτος 255.5 *καὶ τοὺς π ο λ ι ή τ α ς ὁμονόους εἶναι.*

πόλις 1. Πολιτεία/κράτος, city/state, Ξενοφάνης 2.9-20-22 *καί κεν σῖτ' εἴη δημοσίων κτεάνων ἐκ π ό λ ε ω ς καὶ δῶρον ὅ οἱ κειμήλιον εἴη ... σμικρὸν δ' ἄν τι π ό λ ε ι χάρμα γένοιτ' ἐπὶ τῷ, εἴ τις ἀεθλεύων νικῷ Πίσαο παρ' ὄχθας· οὐ γὰρ πιαίνει ταῦτα μυχοὺς π ό λ ε ω ς* Ἡράκλειτος 121 *τοῖς ἀνήβοις τὴν π ό λ ι ν καταλιπεῖν* **2.** Πολιτεία/πολιτικὴ κοινωνία, political society, Ξενοφάνης 2.19 *τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ π ό λ ι ς εἴη* Ἡράκλειτος 114 *ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ π ό λ ι ς, καὶ πολὺ ἰσχυροτέρως* Δημόκριτος 214 *ἔνιοι δὲ π ο λ ί ω ν μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσιν* 250

Ακαδημία Αθηνών / Academy of Athens

ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα καὶ ταῖς π ό λ ε σ ι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ 252 *τὰ κατὰ τὴν π ό λ ι ν χρεὼν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι ... π ό λ ι ς γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι* **3.** Πόλη, city, Ἐμπεδοκλῆς 112.2 *ἀν' ἄκρα π ό λ ε ο ς* Ἀναξαγόρας 4.6 *καὶ τοῖς γε ἀνθρώποισιν εἶναι καὶ π ό λ ε ι ς συνῳκημένας καὶ ἔργα κατεσκευασμένα, ὥσπερ παρ' ἡμῖν.*

πολιτική (τέχνη). Πολιτική (τέχνη), statesmanship (art), Δημόκριτος 157 *τήν τε π ο λ ι τ ι κ ὴ ν τέχνην μεγίστην οὖσαν ἐκδιδάσκεσθαι.*

πολλαπλασίως. Πολλαπλάσια, multiple, Ἀναξαγόρας 9 *ἡ δὲ ταχυτὴς αὐτῶν οὐδενὶ ἔοικε χρήματι τὴν ταχυτῆτα τῶν νῦν ἐόντων χρημάτων ἐν ἀνθρώποις, ἀλλὰ πάντως π ο λ λ α π λ α σ ί ω ς ταχύ ἐστι.*

πολλαχῇ. Πολλὲς φορές, many times, Δημόκριτος 10 *ἐτεῇ μέν νυν ὅτι οἷον ἕκαστον ἔστιν ⟨ἢ⟩ οὐκ ἔστιν οὐ συνίεμεν, π ο λ λ α χ ῇ δεδήλωται.*

πολλαχῶς. Μὲ πολλοὺς τρόπους, in many ways, Διογένης 2.7 *εἰ γὰρ ... καὶ μὴ τὸ αὐτὸ ἐὸν μετέπιπτε π ο λ λ α χ ῶ ς καὶ ἕτεροιοῦτο, οὐδαμῇ οὔτε μίσγεσθαι ἀλλήλοις ἠδύνατο.*

Πολογραφίη. Πραγματεία περὶ τῶν πόλων, treatise on the poles, Δημόκριτος 15a (τίτλ.) *Π ο λ ο γ ρ α φ ί η.* Πρβλ. *Γεωγραφίη, Οὐρανογραφίη.*

πολύ (τύπ. *πολλόν*). Πολύ, much, Ξενοφάνης 9 *ἀνδρὸς γηρέντος π ο λ λ ὸ ν ἀφαυρότερος* 38.1 *εἰ μὴ χλωρὸν ἔφυσε θεὸς μέλι, π ο λ λ ὸ ν ἔφασκον γλύσσονα σῦκα πέλεσθαι* Ἡράκλειτος 114 *ὅκωσπερ νόμῳ πόλις, καὶ π ο λ ὺ ἰσχυροτέρως* Ἐμπεδοκλῆς 2.9 *πεύσεαι οὐ π λ έ ο ν ἠὲ βροτείη μῆτις ὄρωρεν* 3.10 *μήτε τιν' ὄψιν ἔχων πίστει π λ έ ο ν ἢ κατ' ἀκουὴν ἢ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης* 22.6 *ἐχθρὰ ⟨δ' ἃ⟩ π λ ε ῖ σ τ ο ν ἀπ' ἀλλήλων διέχουσι μάλιστα γέννῃ τε κρήσει τε καὶ εἴδεσιν ἐκμάκτοισι* 98.4 *εἴτ' ὀλίγον μείζων εἴτε π λ ε ό ν ε σ σ ι ν (?) ἐλάσσων· ἐκ τῶν*

Ακαδημία Αθηνών / Academy of Athens

αἷμά τε γέντο καὶ ἄλλης εἴδεα σαρκὸς ’Αναξαγόρας 12.14-15 *καὶ πρῶτον ἀπό του σμικροῦ ἤρξατο περιχωρεῖν, ἐπὶ δὲ π λ έ ο ν περιχωρεῖ, καὶ περιχωρήσει ἐπὶ π λ έ ο ν* 13 *κινουμένων δὲ καὶ διακρινομένων ἡ περιχώρησις π ο λ λ ῷ μᾶλλον ἐποίει διακρίνεσθαι* Διογένης 5.14 *τοῦ μέντοι παρὰ τῷ ἡλίῳ π ο λ λ ὸ ν ψυχρότερος* Δημόκριτος 219 *χρημάτων ὄρεξις, ἣν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης π ο λ λ ὸ ν χαλεπωτέρη* 244 *μάθε δὲ π ο λ ὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι* 273 *γυνὴ π ο λ λ ὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην* 279 *ἅμα μὲν γὰρ π ο λ λ ὸ ν φειδότεροι γίγνονται ἐς τὰ χρήματα ... οὐδ’ εὐθυμεῖ τὰ ἐπικτώμενα, ἀλλὰ π ο λ λ ῷ ἧσσον* ’Αρχύτας 4 *καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν σοφίαν τῶν μὲν ἀλλᾶν τεχνῶν καὶ π ο λ ὺ διαφέρειν, ἀτὰρ καὶ τᾶς γεωμετρικᾶς ἐναργεστέρω πραγματεύεσθαι ἃ θέλει.* || Δημόκριτος A 152 (DK II 126,1) οὐκοῦν ἐν *κρυμῷ* μέν, φησὶν ὁ ’Αβδηρίτης, *συμμένει, ἐν ἀλέᾳ δὲ ὡς τὰ π ο λ λ ὰ ἐκπτύεται* (sc. *τὸ ἔμβρυον*). || Δημόκριτος 172 *ὕδωρ βαθὺ εἰς π ο λ λ ὰ χρήσιμον καὶ δαῦτε κακόν.* || Δημόκριτος 189 *ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν ὡς π λ ε ῖ σ τ α εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι.*

πολυαίματος. Πολυαίματος, full-blooded, ’Εμπεδοκλῆς 150 *π ο λ υ α ί μ α τ ο ν ἦπαρ.*

πολύδηρις. Πολύερις, much contesting, Παρμενίδης 7.5 *κρῖναι δὲ λόγῳ π ο λ ύ δ η ρ ι ν ἔλεγχον.*

πολυκαμπής. Πολυκαμπής, with many curves, Δημόκριτος A 135 (DK II 118,5-19) τὸν μὲν οὖν *ὀξὺν* εἶναι τῷ σχήματι *γωνοειδῆ τε καὶ π ο λ υ κ α μ π ῆ καὶ μικρὸν καὶ λεπτὸν ... διὸ οὐδὲ π ο λ υ κ α μ π ῶ ν.*

πολύκλαυτος. Πολυδάκρυτος, tearful/much lamenting, ’Εμπεδοκλῆς 62.1 *νῦν δ’ ἄγ’, ὅπως ἀνδρῶν τε π ο λ υ κ λ α ύ τ ω ν τε γυναικῶν ἐννυχίους ὅρπηκας ἀνήγαγε κρινόμενον πῦρ.*

πολυλογεῖν. Πολυλογῶ, talk at lenght, Δημόκριτος 225 *ἀληθομυθέειν χρεών, οὐ π ο λ υ λ ο γ έ ε ι ν.* Πρβλ. *πολύλογος.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

πολύλογος. Πολύλογος, loquacious, Δημόκριτος 44 *ἀληθόμυθον χρὴ εἶναι, οὐ π ο λ ύ λ ο γ ο ν.* Πρβλ. *πολυλογεῖν.*

πολυμαθής. Πολυμαθὴς/πολύξερος, much learned/erudite, Δημόκριτος 64 *πολλοὶ π ο λ υ μ α θ έ ε ς νοῦν οὐκ ἔχουσιν.* Πρβλ. *πολυμαθίη.*

πολυμαθίη. Πολυμάθεια/πολυγνωσία, much learning/erudition, Ἡράκλειτος 40 *π ο λ υ μ α θ ί η νόον ἔχειν οὐ διδάσκει* 129 *Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποιήσατο ἑαυτοῦ σοφίην, π ο λ υ μ α θ ί η ν, κακοτεχνίην* Δημόκριτος 65 *πολυνοΐην, οὐ π ο λ υ μ α θ ί η ν ἀσκέειν χρὴ* Ἀνάξαρχος 1 *π ο λ υ μ α θ ί η κάρτα μὲν ὠφελεῖ, κάρτα δὲ βλάπτει τὸν ἔχοντα.* Πρβλ. *πολυμαθής.*

πολυμιγής. Πολύμικτος, much mixed, Φιλόλαος 10 *ἔστι γὰρ ἁρμονία π ο λ υ μ ι γ έ ω ν ἕνωσις καὶ δίχα φρονεόντων συμφρόνησις.*

πολυμνήστη. Περιζήτητη/(πολυ)παράκλητη, much sought after/much beseeched, Ἐμπεδοκλῆς 3.3 *καὶ σέ, π ο λ υ μ ν ή σ τ η λευκώλενε παρθένε Μοῦσα, ἄντομαι.*

πολυνοΐη. Βαθύνοια, deep thought/sagacity, Δημόκριτος 65 *π ο λ υ ν ο ΐ η ν, οὐ πολυμαθίην ἀσκέειν χρή.*

πολύοζος. Πολύκλαδος, with many branches, Διογένης 6.14 *ἀπὸ δὲ τούτων (sc. τῶν φλεβῶν) λεπταὶ καὶ π ο λ ύ ο ζ ο ι ἐπὶ τὴν ἄλλην χεῖρα καὶ δακτύλους.*

πολυπαθής. Πολύπαθος, much suffering, Δημόκριτος 149 *ποικίλον τι καὶ π ο λ υ π α θ ὲ ς κακῶν ταμιεῖον.*

πολύπειρος. Πολύπειρος, much experienced, Παρμενίδης 7.3 *ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα μηδέ σ' ἔθος π ο λ ύ π ε ι ρ ο ν ὁδὸν κατὰ τήνδε βιάσθω.*

πολύπλαγκτος. Πολυπλάνητος, much wandering, Παρμενίδης 16.1 *ὡς γὰρ ἑκάστοτ' ἔχει κρᾶσις μελέων π ο λ υ π λ ά γ κ τ ω ν, τὼς νόος ἀνθρώποισι παρίσταται.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

πολύποινος. Πολύποινος/πολλαπλὰ τιμωρός, much punishing/multipunishing, Παρμενίδης 1.14 *αὐταὶ δ' αἰθέριαι πλῆνται μεγάλοισι θυρέτροις· τῶν δὲ Δίκη π ο λ ύ π ο ι ν ο ς ἔχει κληῖδας ἀμοιβούς.*

πολυπραγμονεῖν. Πολυασχολοῦμαι/ὑπερφροντίζω, be very busy/care too much, Δημόκριτος 80 *αἰσχρὸν τὰ ὀθνεῖα π ο λ υ π ρ α γ μ ο ν έ ο ν τ α ἀγνοεῖν τὰ οἰκήϊα.*

πολὺς 1. Πολύς, much/great, Ἡράκλειτος 39 *ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ π λ ε ί ω ν λόγος ἢ τῶν ἄλλων* Ἀναξαγόρας 4.17 *καὶ γῆς π ο λ λ ῆ ς ἐνεούσης* Δημόκριτος A 77 (DK II 103,25) *ὑπὸ σάλου π ο λ λ ο ῦ καὶ θερμότητος* A 155 (DK II 126,36) *π ο λ λ ὴ ἐπίρροια τῶν χυμῶν* 160 *οὐ κακῶς ζῆν ... ἀλλὰ π ο λ ὺ ν χρόνον ἀποθνῄσκειν* **2.** Πολυάριθμος/πολυπληθής, numerous, Ξενοφάνης 12.1 *ὡς π λ ε ῖ σ τ (α) ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα* Ἐμπεδοκλῆς 2.2 *στεινωποὶ μὲν γὰρ παλάμαι κατὰ γυῖα κέχυνται· π ο λ λ ὰ δὲ δείλ' ἔμπαια, τά τ' ἀμβλύνουσι μέριμνας* 23.4 *ἁρμονίῃ μείξαντε τὰ μὲν π λ έ ω, ἄλλα δ' ἐλάσσω* 39.2 *ὡς διὰ π ο λ λ ῶ ν δὴ γλώσσας ἐλθόντα ματαίως ἐκκέχυται στομάτων ὀλίγον τοῦ παντὸς ἰδόντων* 52 *π ο λ λ ὰ δ' ἔνερθ(ε) οὔδεος πυρὰ καίεται* 57.1 *ᾗ π ο λ λ α ὶ μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν* Φιλόλαος 5 *ἑκατέρῳ δὲ τῷ εἴδεος π ο λ λ α ὶ μορφαί, ἃς ἕκαστον αὐταυτὸ σημαίνει* Ἀναξαγόρας 5 *τούτων δὲ οὕτω διακεκριμένων γινώσκειν χρή, ὅτι πάντα οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ π λ ε ί ω (οὐ γὰρ ἀνυστὸν πάντων π λ ε ί ω εἶναι), ἀλλὰ πάντα ἴσα ἀεὶ* 12.25 *μοῖραι δὲ π ο λ λ α ὶ π ο λ λ ῶ ν εἰσι* Διογένης 5.7-10-20 *π ο λ λ ο ὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιός εἰσιν ... καὶ ἄλλαι π ο λ λ α ὶ ἑτεροιώσιες ἔνεισι καὶ ἡδονῆς καὶ χροιῆς ἄπειροι ... ἅτε οὖν πολυτρόπου ἐούσης τῆς ἑτεροιώσιος πολύτροπα καὶ τὰ ζῷα καὶ π ο λ λ ὰ καὶ οὔτε ἰδέαν ἀλλήλοις ἐοικότα οὔτε δίαιταν* 6.25-29-33 *σχίζονται δὲ καὶ ἐπὶ τὴν κοιλίαν καὶ τὸ πλευρὸν π ο λ λ α ὶ ἀπ' αὐτῶν καὶ λεπταὶ φλέβες ... σχίζονται εἰς τὴν κεφαλὴν π ο λ λ α ὶ ... ἔστι δ' ἑτέρα φλὲψ ἐν τῷ τραχήλῳ παρὰ τὴν μεγάλην ἑκατέρωθεν, ἐλάττων ἐκείνης ὀλίγον, εἰς ἣν αἱ π λ ε ῖ ο τ α ι ἐκ τῆς κεφαλῆς συνέχουσιν αὐτῆς* Δημόκριτος 64 *π ο λ λ ο ὶ*

Ακαδημία Αθηνών / Academy of Athens

πολυμαθέες νοῦν οὐκ ἔχουσιν 235.5 αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ πίνωσιν, αἱ δὲ λῦπαι π ο λ λ α ὶ 276 οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι· ἐνορῶ γὰρ ἐν παίδων κτήσει π ο λ λ ο ὺ ς μὲν καὶ μεγάλους κινδύνους, π ο λ λ ὰ ς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα 277.7-8 καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ π ο λ λ ῶ ν, οἷον ἂν δέῃ. ἢν δέ τις ποιῆται (sc. παῖδα) ἀπὸ ἑωυτοῦ, π ο λ λ ο ὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γάρ, ὃς ἂν γένηται, τούτῳ χρῆσθαι 285 γινώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον π ο λ λ ῆ σ ί ν τε κηρσὶ συμπεφυρμένην καὶ ἀμηχανίῃσιν, ὅκως ἄν τις μετρίης τε κτήσιος ἐπιμέληται καὶ μετρῆται ἐπὶ τοῖς ἀναγκαίοις ἡ ταλαιπωρίη 286 εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χρήμασιν εὐθυμεόμενος, δυστυχὴς δὲ ὁ ἐπὶ π ο λ λ ο ῖ σ ι δυσθυμεόμενος Ἀρχύτας 1.17 π ο λ λ ο ὺ ς μὲν δὴ αὐτῶν οὐκ εἶναι ἁμῶν τᾷ φύσει οἵους τε γινώσκεσθαι, τοὺς μὲν διὰ τὰν ἀσθένειαν τᾶς πλαγᾶς, τοὺς δὲ διὰ τὸ μᾶκος τᾶς ἀφ' ἁμῶν ἀποστάσιος. || **πολλοί.** Ἡράκλειτος 17 οὐ γὰρ φρονέουσι τοιαῦτα π ο λ λ ο ί, ὁκόσοι ἐγκυρεῦσιν, οὐδὲ μαθόντες γινώσκουσιν, ἑωυτοῖσι δὲ δοκέουσι Δημόκριτος 53 π ο λ λ ο ὶ λόγον μὴ μαθόντες ζῶσι κατὰ λόγον 53a π ο λ λ ο ὶ δρῶντες τὰ αἴσχιστα λόγους ἀρίστους ἀσκέουσιν 97 π ο λ λ ο ὶ δοκέοντες εἶναι φίλοι οὐκ εἰσί, καὶ οὐ δοκέοντες εἰσὶν 242 π λ έ ο ν ε ς ἐξ ἀσκήσιος ἀγαθοὶ γίνονται ἢ ἀπὸ φύσιος. || **οἱ πολλοί** (ἀντίθ. οἱ ἄριστοι). Ἡράκλειτος 2 τοῦ λόγου δ' ἐόντος ξυνοῦ ζώουσιν οἱ π ο λ λ ο ὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν 29 αἱρεῦνται γὰρ ἓν ἀντὶ ἁπάντων οἱ ἄριστοι, κλέος ἀέναον θνητῶν· οἱ δὲ π ο λ λ ο ὶ κεκόρηνται ὥκωσπερ κτήνεα 104 οἱ π ο λ λ ο ὶ κακοί, ὀλίγοι δὲ ἀγαθοί. || **πολλά.** Ἡράκλειτος 35 χρὴ γὰρ εὖ μάλα π ο λ λ ῶ ν ἴστορας φιλοσόφους ἄνδρας εἶναι Ἀναξαγόρας 4.1-9 τούτων δὲ οὕτως ἐχόντων χρὴ δοκεῖν ἐνεῖναι π ο λ λ ά τε καὶ παντοῖα ἐν πᾶσι τοῖς συγκρινομένοις καὶ σπέρματα πάντων χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα ... καὶ τὴν γῆν αὐτοῖσι φύειν π ο λ λ ά τε καὶ παντοῖα 6.7 ἐν πᾶσι δὲ π ο λ λ ὰ ἔνεστι καὶ τῶν ἀποκρινομένων ἴσα πλῆθος ἐν τοῖς μείζοσί τε καὶ ἐλάσσοσι 12.25-29 μοῖραι δὲ πολλαὶ π ο λ λ ῶ ν εἰσι ... νοῦς δὲ πᾶς ὅμοιός ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐλάττων. ἕτερον δὲ οὐδέν ἐστιν ὅμοιον οὐδενί, ἀλλ' ὅτων π λ ε ῖ ο τ α ἔνι, ταῦτα

Ακαδημία Αθηνών / Academy of Athens

ἐνδηλότατα ἓν ἕκαστόν ἐστι καὶ ἦν Διογένης 8 *ἀλλὰ τοῦτό μοι δῆλον δοκεῖ εἶναι, ὅτι καὶ μέγα καὶ ἰσχυρὸν καὶ ἀίδιόν τε καὶ ἀθάνατον καὶ π ο λ λ ὰ εἰδός ἐστι* Δημόκριτος 3 *τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ π ο λ λ ὰ πρήσσειν, μήτε ἰδίῃ μήτε ξυνῇ, μηδὲ ἅσσ' ἂν πράσσῃ, ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν· ἀλλὰ τοσαύτην ἔχειν φυλακήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης καὶ ἐς τὸ π λ έ ο ν ὑπηγεομένης τῷ δοκεῖν, κατατίθεσθαι, καὶ μὴ π λ έ ω προσάπτεσθαι τῶν δυνατῶν* 35 *γνωμέων μευ τῶνδε εἴ τις ἐπαΐοι ξὺν νόῳ, π ο λ λ ὰ μὲν ἔρξει πράγματ' ἀνδρὸς ἀγαθοῦ ἄξια, π ο λ λ ὰ δὲ φλαῦρα οὐχ ἔρξει* 85 *ὁ ἀντιλογεόμενος καὶ π ο λ λ ὰ λεσχηνευόμενος ἀφυὴς ἐς μάθησιν ὧν χρὴ* 119 *τὰ δὲ π λ ε ῖ σ τ α ἐν βίῳ εὐξύνετος ὀξυδερκείη κατιθύνει* 191.12 *καὶ μηκέτι π λ ε ι ό ν ω ν ἐπιθυμέοντι συμβαίνῃ κακοπαθεῖν τῇ ψυχῇ* 224 *ἡ τοῦ π λ έ ο ν ο ς ἐπιθυμίη τὸ παρεὸν ἀπόλλυσι* 280 *ἔξεστιν οὐ π ο λ λ ὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας* 284 *ἢν μὴ π ο λ λ ῶ ν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι π ο λ λ ὰ δόξει· σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα πλούτῳ ποιέει* Ἀρχύτας 1.56 *ὅτι μὲν δὴ τοὶ ὀξεῖς φθόγγοι τάχιον κινέονται, οἱ δὲ βαρεῖς βράδιον, φανερὸν ἁμῖν ἐκ π ο λ λ ῶ ν γέγονεν.* || **πολλά-πλέονα** (σὲ ἀντίθεση πρὸς τὸ ἕν). Ζήνων 1.8 *οὕτως εἰ π ο λ λ ά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα* 3.1-2-4 *εἰ π ο λ λ ά ἐστιν, ἀνάγκη τοσαῦτα εἶναι ὅσα ἐστὶ καὶ οὔτε π λ ε ί ο ν α αὐτῶν οὔτε ἐλάττονα ... εἰ π ο λ λ ά ἐστιν, ἄπειρα τὰ ὄντα ἐστὶν* Μέλισσος 8(2)-(4)-(5)-(6) *εἰ γὰρ ἦν π ο λ λ ά, τοιαῦτα χρὴ αὐτὰ εἶναι, οἷόν περ ἐγώ φημι τὸ ἓν εἶναι ... φαμένοις γὰρ εἶναι π ο λ λ ὰ καὶ ἀίδια (?) καὶ εἴδη τε καὶ ἰσχὺν ἔχοντα, πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκεῖ καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁρωμένου. δῆλον τοίνυν, ὅτι οὐκ ὀρθῶς ἑωρῶμεν οὐδὲ ἐκεῖνα π ο λ λ ὰ ὀρθῶς δοκεῖ εἶναι ... οὕτως οὖν, εἰ π ο λ λ ὰ εἴη, τοιαῦτα χρὴ εἶναι, οἷόν περ τὸ ἓν* Ἐμπεδοκλῆς 17.2-9-10-17 *δίπλ' ἐρέω· τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι ἐκ π λ ε ό ν ω ν, τοτὲ δ' αὖ διέφυ π λ έ ο ν' ἐξ ἑνὸς εἶναι ... ⟨οὕτως ᾗ μὲν ἓν ἐκ π λ ε ό ν ω ν μεμάθηκε φύεσθαι⟩ ἠδὲ πάλιν διαφύντος ἑνὸς π λ έ ο ν' ἐκτελέθουσι ... τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι ἐκ π λ ε ό ν ω ν, τοτὲ δ' αὖ διέφυ π λ έ ο ν' ἐξ ἑνὸς εἶναι* 26.8-9 *οὕτως ᾗ μὲν ἓν ἐκ π λ ε ό ν ω ν μεμάθηκε φύεσθαι ἠδὲ πάλιν διαφύοντος ἑνὸς π λ έ ο ν' ἐκτελέθουσι.* || **τὸ πολύ** (ὡς περιέχον). Ἀναξαγόρας 2 *καὶ γὰρ ἀήρ τε*

Ακαδημία Αθηνών / Academy of Athens

καὶ αἰθὴρ ἀποκρίνονται ἀπὸ τοῦ πολλοῦ τοῦ περιέχοντος, καὶ τό γε περιέχον ἄπειρόν ἐστι τὸ πλῆθος 14 *ὁ δὲ νοῦς, ὃς ἀεί ἐστι, τὸ κάρτα καὶ νῦν ἐστιν ἵνα καὶ τὰ ἄλλα πάντα, ἐν τῷ πολλῷ περιέχοντι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις.* || **τὸ πλέον.** Παρμενίδης 16.4 *τὸ γὰρ πλέον ἐστὶ νόημα.*

πολύσημος. Πολύσημος, with many significations, Δημόκριτος 26 καλεῖ δὲ ὁ αὐτὸς (sc. Δημόκριτος) τὸ μὲν πρῶτον ἐπιχείρημα *πολύσημον*, τὸ δὲ δεύτερον *ἰσόρροπον* ⟨τὸ δὲ τρίτον *μετώνυμον*⟩, τὸ δὲ τέταρτον *νώνυμον*.

πολυσπερής. Πολύσπερμος, abounding in semens, Ἐμπεδοκλῆς 74 *φῦλον ἄμουσον ἄγουσα πολυσπερέων καμασήνων.*

πολυτελής. Πλουσιοπάροχος/κατάμεστος, richly supplied, Δημόκριτος 210 *τράπεζαν πολυτελέα μὲν τύχη παρατίθησιν, αὐταρκέα δὲ σωφροσύνη.*

πολύτροπος. Πολύτροπος, multiform, Διογένης 5.8-19-20 *πολλοὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιός εἰσιν· ἔστι γὰρ πολύτροπος ... ἅτε οὖν πολυτρόπου ἐούσης τῆς ἑτεροιώσιος πολύτροπα καὶ τὰ ζῷα καὶ πολλά.* Πρβλ. *τρόπος, εὐτροπίη.*

πολύφημος. Μεστὸς διδαχῆς, full of teaching, Παρμενίδης 1.2 *ἵπποι ταί με φέρουσιν, ὅσον τ' ἐπὶ θυμὸς ἱκάνοι, πέμπον, ἐπεί μ' ἐς ὁδὸν βῆσαν πολύφημον ἄγουσαι δαίμονες, ἣ κατὰ πάντ' ἄστη φέρει εἰδότα φῶτα.*

πολυφθερής. Πολύφθαρτος, multidestructible, Ἐμπεδοκλῆς 113.2 *εἰ θνητῶν περίειμι πολυφθερέων ἀνθρώπων.*

πολύφραστος. Περίφημος/πολὺ αἰσθαντικός, famous/sensitive, Παρμενίδης 1.4 *τῇ γάρ με πολύφραστοι φέρον ἵπποι.*

πολυφροσύνη. Πολλαπλὴ φρόνηση/πολύπλευρη εἰδημοσύνη, wisdom on many fields/many-sided wisdom, Δημόκριτος 40

Ακαδημία Αθηνών / Academy of Athens

οὔτε σώμασιν οὔτε χρήμασιν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀρθοσύνῃ καὶ π ο λ υ φ ρ ο σ ύ ν ῃ.

πομφολυγώδης. Φυσαλιδόμορφος, bubble-shaped, Δημόκριτος 5 (DK II 137,28) *π ο μ φ ο λ υ γ ώ δ ε ι ς ὑμένας.*

πομφόλυξ. Φυσαλίδα, bubble, Δημόκριτος 5 (DK II 136,42) *ὑμένες ἐοικότες π ο μ φ ό λ υ ξ ι ν.*

πονεῖν. Κοπιάζω/μοχθῶ, labour, Δημόκριτος 179 *μὴ π ο ν ε ῖ ν παῖδες ἀνιέντες οὔτε γράμματ' ἂν μάθοιεν οὔτε μουσικὴν οὔτε ἀγωνίην οὐδ' ὅπερ μάλιστα τὴν ἀρετὴν συνέχει, τὸ αἰδεῖσθαι* 243 *τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν π ο ν έ ο υ σ ι τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες. ἐν δὲ ἑκάστῃ ἀποτυχίῃ τὸ π ο ν ε ῖ ν (?) ὁμοίως ἀνιηρὸν καὶ ταλαίπωρον.* Πρβλ. *πόνος.*

πονηρεύεσθαι. Εἶμαι κακὸς/συμπεριφέρομαι πονηρά, be wicked/behave cunningly, Ἡράκλειτος 125a *μὴ ἐπιλίποι ὑμᾶς πλοῦτος ... Ἐφέσιοι, ἵν' ἐξελέγχοισθε π ο ν η ρ ε υ ό μ ε ν ο ι.*

πονηρός. Πονηρός, wicked, Δημόκριτος 192 *ἔστι ῥᾴδιον μὲν ἐπαινεῖν ἃ μὴ χρὴ καὶ ψέγειν, ἑκάτερον δὲ π ο ν η ρ ο ῦ τινος ἤθους.* Πρβλ. *κακός, φαῦλος.*

πόνος. Κόπος/μόχθος, toil/hard work, Ξενοφάνης 25 *ἀλλ' ἀπάνευθε π ό ν ο ι ο νόου φρενὶ πάντα κραδαίνει* Δημόκριτος 157 *τήν τε πολιτικὴν τέχνην μεγίστην οὖσαν ἐκδιδάσκεσθαι καὶ τοὺς π ό ν ο υ ς διώκειν* 182 *τὰ μὲν καλὰ χρήματα τοῖς π ό ν ο ι ς ἡ μάθησις ἐξεργάζεται, τὰ δ' αἰσχρὰ ἄνευ π ό ν ω ν αὐτόματα καρποῦται* 240 *οἱ ἑκούσιοι π ό ν ο ι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέρην παρασκευάζουσι* 241 *π ό ν ο ς συνεχὴς ἐλαφρότερος ἑαυτοῦ συνηθείῃ γίνεται* 243 *τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες.*

πόντος. Θάλασσα, sea, Ξενοφάνης 30.3-5 *οὔτε γὰρ ἐν νέφεσιν ... ἄνευ π ό ν τ ο υ μεγάλοιο οὔτε ῥοαὶ ποταμῶν οὔτ' αἰ⟨θέρος⟩ ὄμβριον ὕδωρ, ἀλλὰ μέγας π ό ν τ ο ς γενέτωρ νεφέων ἀνέμων τε καὶ ποταμῶν* Ἐμπεδοκλῆς 38.3 *γαῖά τε καὶ π ό ν τ ο ς πολυκύμων ἠδ' ὑγρὸς ἀὴρ Τιτὰν ἠδ' αἰθὴρ σφίγγων περὶ κύκλον ἅπαντα* 115.9-

Ακαδημία Αθηνών / Academy of Athens

10 *αἰθέριον μὲν γάρ σφε μένος π ό ν τ ο ν δ ε διώκει, π ό ν τ ο ς δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ' ἐς αὐγὰς ἠελίου φαέθοντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις.*

πορεία. Πορεία/διαδρομή, way/course, Δημόκριτος 126 *ὅσα κυματοειδῶς ἀνὰ τὴν π ο ρ ε ί α ν πλάζεται.*

πορθμός. Ἄνοιγμα/στόμιο, opening, Ἐμπεδοκλῆς 100.10-17 *αὐλοῦ π ο ρ θ μ ὸ ν ... ὅθ' ὕδωρ μὲν ἔχῃ κατὰ βένθεα χαλκοῦ π ο ρ θ μ ο ῦ χωσθέντος βροτέῳ χροΐ ἠδὲ πόροιο. Πρβλ. πόρος, στόμιον.*

πορίζω. Πορίζομαι/ἀποκτῶ, obtain/acquire, Δημόκριτος 78 *χρήματα π ο ρ ί ζ ε ι ν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ πάντων κάκιον.*

πόρος 1. Πόρος/πηγή, way/source, Ἐμπεδοκλῆς 35.1 *αὐτὰρ ἐγὼ παλίνορσος ἐλεύσομαι ἐς π ό ρ ο ν ὕμνων* **2.** Πόρος/δίοδος, passage, Ἐμπεδοκλῆς 3.12 *ἀλλ' ἄγ' ἄθρει πάσῃ παλάμῃ, πῇ δῆλον ἕκαστον, μήτε τιν' ὄψιν ἔχων πίστει πλέον ἢ κατ' ἀκουὴν ἢ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης, μήτε τι τῶν ἄλλων, ὁπόσῃ π ό ρ ο ς ἐστὶ νοῆσαι, γυίων πίστιν ἔρυκε, νόει δ' ᾗ δῆλον ἕκαστον* **3.** Πόρος/ὀπή, opening, Ἐμπεδοκλῆς A 87 (DK I 306,3) *π ό ρ ο υ ς καὶ ναστά, καὶ τοὺς μὲν π ό ρ ο υ ς ἐκάλεσε κοῖλα, τὰ δὲ ναστὰ πυκνὰ* 100.17 *ὡς δ' αὔτως, ὅθ' ὕδωρ μὲν ἔχῃ κατὰ βένθεα χαλκοῦ πορθμοῦ χωσθέντος βροτέῳ χροΐ ἠδὲ π ό ρ ο ι ο* Δημόκριτος A 77 (DK II 103,23) *ἐγκαταβυσσοῦσθαι τὰ εἴδωλα διὰ τῶν π ό ρ ω ν εἰς τὰ σώματα καὶ ποιεῖν τὰς κατὰ ὕπνον ὄψεις ἐπαναφερόμενα.* Πρβλ. *πορθμός, κένευθος.*

πορσύνειν. Δημιουργῶ/κατασκευάζω, create/construct, Ἐμπεδοκλῆς 23.5 *ἐκ τῶν εἴδεα πᾶσιν ἀλίγκια π ο ρ σ ύ ν ο υ σ ι.* Πρβλ. *κτίζω.*

ποτάγορος. Σύστοιχος/συμβλητός, commensurable/comparable, Φιλόλαος 11.12 *νῦν δὲ οὗτος (sc. ἀριθμός) καττὰν ψυχὰν ἁρμόζων αἰσθήσει πάντα γνωστὰ καὶ π ο τ ά γ ο ρ α ἀλλάλοις κατὰ γνώμονος φύσιν ἀπεργάζεται.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ποταμός. Ποταμός, river, Ξενοφάνης 30.4-6 *οὔτε ῥοαὶ π ο τ α μ ῶ ν ... ἀλλὰ μέγας πόντος γενέτωρ νεφέων ἀνέμων τε καὶ π ο τ α μ ῶ ν* Ἡράκλειτος 12 *π ο τ α μ ο ῖ σ ι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιῤῥεῖ.*

ποτέ. Κάποτε, at some time, Ξενοφάνης 7.2 *καὶ π ο τ έ μιν στυφελιζομένου σκύλακος παριόντα φασὶν ἐποικτῖραι* Μέλισσος 2.4-5 *εἰ μὲν γὰρ ἐγένετο, ἀρχὴν ἂν εἶχεν (ἤρξατο γὰρ ἄν π ο τ ε γενόμενον) καὶ τελευτήν (ἐτελεύτησε γὰρ ἄν π ο τ ε γενόμενον)* Ἐμπεδοκλῆς 117.1 *ἤδη γάρ π ο τ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε τ' οἰωνός τε καὶ ἔξαλος ἔλλοπος ἰχθύς.* || Ἡράκλειτος 16 *τὸ μὴ δῦνόν π ο τ ε πῶς ἄν τις λάθοι;* Παρμενίδης 8.5-12-20-61 *οὐδέ π ο τ' ἦν οὐδ' ἔσται ... οὐδέ π ο τ' ἐκ μὴ ἐόντος ἐφήσει πίστιος ἰσχὺς γίγνεσθαί τι παρ' αὐτὸ ... οὐδ' εἴ π ο τ ε μέλλει ἔσεσθαι ... ὡς οὐ μή π ο τ έ τίς σε βροτῶν γνώμη παρελάσσῃ* Ἐμπεδοκλῆς 16.1 *καὶ ἔσσεται, οὐδέ π ο τ', οἵω* Δημόκριτος 50 *ὁ χρημάτων παντελῶς ἥσσων οὐκ ἄν π ο τ ε εἴη δίκαιος.*

πότιμον (ἀντίθ. *ἄποτον*). Πόσιμο, drinkable, Ἡράκλειτος 61 *θάλασσα ὕδωρ καθαρώτατον καὶ μιαρώτατον, ἰχθύσι μὲν π ό τ ι μ ο ν καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον.*

ποτιπίπτειν. Προσπίπτω / προσκρούω, fall upon / strike against, Ἀρχύτας 1.24 *τὰ μὲν οὖν π ο τ ι π ί π τ ο ν τ α ποτὶ τὰν αἴσθασιν.*

πότμος (συνών. *μόρος, θάνατος*). Θάνατος, death, Ἐμπεδοκλῆς 9.4 *δυσδαίμονα π ό τ μ ο ν.*

πούς. Πόδι, foot, Ξενοφάνης 2.1-17 *ἀλλ' εἰ μὲν ταχυτῆτι π ο δ ῶ ν νίκην τις ἄροιτο ... οὐδὲ μὲν εἰ ταχυτῆτι π ο δ ῶ ν ... τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη* Ἐμπεδοκλῆς 29.2 καὶ 134.3 *οὐ π ό δ ε ς, οὐ θοὰ γοῦν(α)* 101.2 *κέρματα θηρείων μελέων μυκτῆρσιν ἐρευνῶν ... ἀπέλειπε π ο δ ῶ ν ἁπαλῇ περὶ ποίῃ* Διογένης 6.22-23 *τείνουσιν (sc. αἱ φλέβες) εἰς τὴν κνήμην τε καὶ τὸν π ό δ α καθάπερ καὶ εἰς τὰς χεῖρας. καὶ ἐπὶ τὸν ταρσὸν τοῦ π ο δ ὸ ς καθήκουσι* Δημόκριτος 228.4-6 *οἱ ὀρχησταὶ οἱ ἐς τὰς μαχαίρας*

Ακαδημία Αθηνών / Academy of Athens

ὀρούοντες, ἢν ἑνὸς μούνου ⟨μὴ⟩ τύχωσι καταφερόμενοι, ἔνθα δεῖ τοὺς π ό δ α ς ἐρεῖσαι, ἀπόλλυνται (χαλεπὸν δὲ τυχεῖν ἑνός· τὸ γὰρ ἴχνιον μοῦνον λέλειπται τῶν π ο δ ῶ ν). || Ξενοφάνης 28.1 *γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ π ο σ σ ὶ ν ὁρᾶται ἠέρι προσπλάζον, τὸ κάτω δ' ἐς ἄπειρον ἱκνεῖται* Ἡράκλειτος 3 *εὖρος π ο δ ὸ ς ἀνθρωπείου (sc. ἥλιος).*

πρᾶγμα 1. Πράγμα/συστατικό, thing/constituent, Φιλόλαος 6.2-6 *ἁ μὲν ἐστὼ τῶν π ρ α γ μ ά τ ω ν ἀίδιος ἔσσα ... μὴ ὑπαρχούσας τᾶς ἐστοῦς τῶν π ρ α γ μ ά τ ω ν, ἐξ ὧν συνέστα ὁ κόσμος, καὶ τῶν περαινόντων καὶ τῶν ἀπείρων* 11.9-14-17 *οὐ γὰρ ἦς δῆλον οὐδενὶ οὐδὲν τῶν π ρ α γ μ ά τ ω ν οὔτε αὐτῶν ποθ' αὑτὰ οὔτε ἄλλω πρὸς ἄλλο, εἰ μὴ ἦς ἀριθμὸς ... νῦν δὲ οὗτος (sc. ἀριθμός) ... σχίζων τοὺς λόγους χωρὶς ἑκάστους τῶν π ρ α γ μ ά τ ω ν τῶν τε ἀπείρων καὶ τῶν περαινόντων. ἴδοις δέ κα οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις π ρ ά γ μ α σ ι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν.* || Δημόκριτος 164.12 *αἱ δὲ περιφερεῖς ταῖς περιφερέσιν ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν π ρ α γ μ ά τ ω ν τῆς ἐν τούτοις ὁμοιότητος.* Πρβλ. *χρῆμα* **2.** Πράγμα/πράξη, thing/action, Δημόκριτος 35 *γνωμέων μευ τῶνδε εἴ τις ἐπαΐοι ξὺν νόῳ, πολλὰ μὲν ἔρξει π ρ ά γ μ α τ' ἀνδρὸς ἀγαθοῦ ἄξια, πολλὰ δὲ φλαῦρα οὐχ ἕρξει.* Πρβλ. *πρᾶξις, ἔργον.*

πραγματεία. Πραγματεία, treatise, Ἀρχύτας 4.5 *καὶ ἁ ἐκλείπει αὖ ἁ γεωμετρία, καὶ ἀποδείξιας ἁ λογιστικὰ ἐπιτελεῖ καὶ ὁμῶς, εἰ μὲν εἰδέων τεὰ π ρ α γ μ α τ ε ί α, καὶ τὰ περὶ τοῖς εἴδεσιν.*

πραγματεύεσθαι. Πραγματεύομαι, study/treat, Ἀρχύτας 4.3 *καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν σοφίαν τῶν μὲν ἀλλᾶν τεχνῶν καὶ πολὺ διαφέρειν, ἀτὰρ καὶ τᾶς γεωμετρικᾶς ἐναργεστέρω π ρ α γ μ α τ ε ύ ε σ θ α ι ἁ θέλει.*

πραέως. Μὲ πραότητα, with mildness, Δημόκριτος 46 *μεγαλοψυχίη τὸ φέρειν π ρ α έ ω ς πλημμέλειαν.*

πρᾶξις. Πράξη, action, Δημόκριτος 55 *ἔργα καὶ π ρ ῆ ξ ι α ς ἀρετῆς, οὐ λόγους, ζηλοῦν χρειών* 66 *προβουλεύεσθαι κρεῖσσον*

Ακαδημία Αθηνών / Academy of Athens

πρὸ τῶν π ρ ά ξ ε ω ν ἢ μετανοεῖν 81 *τὸ ἀεὶ μέλλειν ἀτελέας ποιεῖ τὰς π ρ ή ξ ι α ς* 177 *οὔτε λόγος ἐσθλὸς φαύλην π ρ ῆ ξ ι ν ἀμαυρίσκει οὔτε π ρ ῆ ξ ι ς ἀγαθὴ λόγου βλασφημίῃ λυμαίνεται* 269 *τόλμα π ρ ή ξ ι ο ς ἀρχή, τύχη δὲ τέλεος κυρίη.* Πρβλ. *πρᾶγμα, ἔργον.*

πραπίδες 1. Φρένες/νοῦς, mind, *Ἐμπεδοκλῆς* 110.1 *εἰ γάρ κέν σφ' ἀδινῇσιν ὑπὸ π ρ α π ί δ ε σ σ ι ν ἐρείσας εὐμενέως καθαρῇσιν ἐποπτεύοῃς μελέτῃσιν* 129.4 *ὁππότε γὰρ πάσῃσιν ὀρέξαιτο π ρ α π ί δ ε σ σ ι ν.* Πρβλ. *φρὴν* **2.** Νοήματα/νοημοσύνη, thoughts/intelligence, *Ἐμπεδοκλῆς* 129.2 *ὃς δὴ μήκιστον π ρ α π ί δ ω ν ἐκτήσατο πλοῦτον* 132.1 *ὄλβιος, ὃς θείων π ρ α π ί δ ω ν ἐκτήσατο πλοῦτον.*

πράσσειν (τύπ. *πρήσσειν*). Πράττω/ἐπιτελῶ, do/manage, *Ξενοφάνης* 1.16 *σπείσαντας δὲ καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι π ρ ή σ σ ε ι ν Δημόκριτος* 2 *Τριτογένεια ... γίνεται δὲ ἐκ τοῦ φρονεῖν τρία ταῦτα ... τὸ εὖ λογίζεσθαι, τὸ εὖ λέγειν καὶ τὸ π ρ ά τ τ ε ι ν ἃ δεῖ* 3 *τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ π ρ ή σ σ ε ι ν, μήτε ἰδίῃ μήτε ξυνῇ, μηδὲ ἅσσ' ἂν π ρ ά σ σ ῃ, ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν* 68 *δόκιμος ἀνὴρ καὶ ἀδόκιμος οὐκ ἐξ ὧν π ρ ά σ σ ε ι μόνον, ἀλλὰ καὶ ἐξ ὧν βούλεται* 191.17 *δι' ἐπιθυμίην τοῦ τι π ρ ή σ σ ε ι ν ἀνήκεστοι ὧν νόμοι κωλύουσιν* 234.3 *ἀκρασίῃ δὲ τἀναντία π ρ ή σ σ ο ν τ ε ς αὐτοὶ προδόται τῆς ὑγείης τῇσιν ἐπιθυμίῃσιν γίνονται* 253 *τοῖς χρηστοῖσιν οὐ συμφέρον ἀμελέοντας τῶν ἑωυτῶν ἄλλα π ρ ή σ σ ε ι ν· τὰ γὰρ ἴδια κακῶς ἔσχεν.* || *Ἐμπεδοκλῆς* 113.1 *ἀλλὰ τί τοῖσδ' ἐπίκειμ' ὥσει μέγα χρῆμά τι π ρ ά σ σ ω ν.* || **βέλτιον πρήσσειν - φαυλότερον πρήσσειν.** Εἶμαι σὲ καλύτερη - χειρότερη κατάσταση, be in a better - worse condition, *Δημόκριτος* 191.20-21 *παραβάλλοντα τὸν ἑαυτοῦ βίον πρὸς τὸν τῶν φ α υ λ ό τ ε ρ ο ν π ρ η σ σ ό ν τ ω ν καὶ μακαρίζειν ἑωυτὸν ἐνθυμεύμενον ἃ πάσχουσιν, ὁκόσῳ αὐτέων β έ λ τ ι ο ν π ρ ή σ σ ε ι τε καὶ διάγει.*

πρεσβύτης (συνών. *γέρων*, ἀντίθ. *νέος*). Πρεσβύτης, elder/old man, *Δημόκριτος* 5 *ἐν τῷ Μικρῷ διακόσμῳ, νέος κατὰ π ρ ε σ β ύ τ η ν Ἀναξαγόραν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

πρηστήρ. Πύρινος στρόβιλος, fiery whirl, Ἀναξίμανδρος A 21 (DK I 87,13) *πρηστῆρος αὐλοῦ* A 22 (DK I 87,21) *πρηστῆρος αὐλὸν* 4 *πρηστῆρος αὐλός.* || Ἡράκλειτος 31 *πυρὸς τροπαὶ πρῶτον θάλασσα, θαλάσσης δὲ τὸ μὲν ἥμισυ γῆ, τὸ δὲ ἥμισυ πρηστήρ.*

προαιρεῖσθαι. Προαιροῦμαι/ἔχω καθαρὴ πρόθεση, be willing/have a clear intention, Δημόκριτος 96 *χαριστικὸς οὐχ ὁ βλέπων πρὸς τὴν ἀμοιβήν, ἀλλ' ὁ εὖ δρᾶν προηρημένος.*

προβουλεύεσθαι. Προσκέπτομαι, think in advance, Δημόκριτος 66 *προβουλεύεσθαι κρεῖσσον πρὸ τῶν πράξεων ἢ μετανοεῖν.*

πρόγνωσις. Πρόγνωση/προδιάγνωση, prognosis, Δημόκριτος 26 b (τίτλ.) *Πρόγνωσις.*

προδιδόναι. Προδίδω/ἀπολείπω, betray/abandon, Ξενοφάνης 1.5 *ἄλλος δ' οἶνος ἕτοιμος, ὃς οὔποτέ φησι προδώσειν, μείλιχος ἐν κεράμοισ' ἄνθεος ὀζόμενος.*

προδότης. Προδότης, traitor, Δημόκριτος 234 *ἀκρασίῃ δὲ τἀναντία πρήσσοντες αὐτοὶ προδόται τῆς ὑγείης τῇσιν ἐπιθυμίῃσιν γίνονται.*

προέρχεσθαι. Προβαίνω, advance/proceed, Δημόκριτος A 151 (DK II 125,17) *ὄνου ἵππον βιασαμένου κατὰ τύχην κυῆσαι, μαθητὰς δὲ ἀνθρώπους τῆς βίας ταύτης γεγενημένους εἶτα μέντοι προελθεῖν ἐπὶ τὴν τῆς γονῆς αὐτῶν συνήθειαν.*

προέχειν. Προεξέχω, jut out, Ζήνων 1.4-5 *καὶ περὶ τοῦ προύχοντος ὁ αὐτὸς λόγος. καὶ γὰρ ἐκεῖνο ἔξει μέγεθος καὶ προέξει αὐτοῦ τι.*

προθυμεῖσθαι. Ἐπιθυμῶ ἔντονα/ἐπιδιώκω, desire strongly/aspire to, Δημόκριτος 169 *μὴ πάντα ἐπίστασθαι προθυμέο, μὴ πάντων ἀμαθὴς γένῃ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

πρόθυμος. Ἐπιθυμητικός, eager, Δημόκριτος 279.5 *ἅμα μὲν γὰρ πολλὸν φειδότεροι γίγνονται ἐς τὰ χρήματα καὶ π ρ ο θ υ μ ό τ ε ρ ο ι κτᾶσθαι.*

προκρίνειν (συνών. *προτιμᾶν*). Προκρίνω/τιμῶ περισσότερο, prefer/honour more, Ξενοφάνης 2.14 *ἀλλ' εἰκῇ μάλα τοῦτο νομίζεται, οὐδὲ δίκαιον π ρ ο κ ρ ί ν ε ι ν ῥώμην τῆς ἀγαθῆς σοφίης.*

πρόκροσσος. Συμπαραταγμένος, standing by, Δημόκριτος A 135 (DK II 122,8) ἐκ μεγάλων γὰρ εἶναι ταῦτα καὶ τὰς συνδέσεις οὐ περιφερεῖς ἀλλὰ *π ρ ο κ ρ ό σ ο α ς*, καὶ τῶν σχημάτων τὰς μορφὰς μιγνυμένας.

προμηθείη. Ἔγνοια/φροντίδα, worry/care, Ξενοφάνης 1.24 *θεῶν ⟨δὲ⟩ π ρ ο μ η θ ε ί η ν αἰὲν ἔχειν ἀγαθόν.*

πρόμος. Ἡγεμὼν/ἄρχων, leader/ruler, Ἐμπεδοκλῆς 146.2 *εἰς δὲ τέλος μάντεις τε καὶ ὑμνοπόλοι καὶ ἰητροὶ καὶ π ρ ό μ ο ι ἀνθρώποισιν ἐπιχθονίοισι πέλονται.*

πρόνοια. Πρόνοια/πρόγνωση, foresight/prediction, Δημόκριτος 10a (τίτλ.) *Περὶ εἰδώλων ἢ Περὶ π ρ ο ν ο ί α ς [?].*

προρεῖν. Ἀπορρέω, issuing forth, Ἐμπεδοκλῆς 21.6 *ἐκ δ' αἴης π ρ ο ρ έ ο υ σ ι θελεμνά τε καὶ στερεωπά.* Πρβλ. *ἐπιρρεῖν, ἐνρεῖν.*

προσάπτειν. Συνάπτω/συνδέω, join/bind together, Ἀλκμαίων 2 *τοὺς ἀνθρώπους ... διὰ τοῦτο ἀπόλλυσθαι, ὅτι οὐ δύνανται τὴν ἀρχὴν τῷ τέλει π ρ ο σ ά ψ α ι* Ἐμπεδοκλῆς 24.1 *κορυφὰς ἑτέρας ἑτέρῃσι π ρ ο σ ά π τ ω ν.* || **προσάπτεσθαι.** Καταπιάνομαι/ἐπιδιώκω, undertake/pursue, Δημόκριτος 3.6 *ἀλλὰ τοσαύτην ἔχειν φυλακήν, ὥστε καὶ τῆς τύχης ἐπιβαλλούσης καὶ ἐς τὸ πλέον ὑπηγεομένης τῷ δοκεῖν, κατατίθεσθαι, καὶ μὴ πλέω π ρ ο σ ά π τ ε σ θ α ι τῶν δυνατῶν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

προσαυδᾶν. Προσφωνῶ, address, Παρμενίδης 1.23 *καί με θεὰ πρόφρων ὑπεδέξατο, χεῖρα δὲ χειρὶ δεξιτερὴν ἕλεν, ὧδε δ' ἔπος φάτο καί με προσηύδα.*

προσγίγνεσθαι (ἀντίθ.*ἀπογίγνεσθαι*). Προστίθεμαι, be added, Ζήνων 2.1-2-4-6-7 *εἰ γὰρ ἄλλῳ ὄντι ... προσγένοιτο, οὐδὲν ἂν μεῖζον ποιήσειεν· μεγέθους γὰρ μηδενὸς ὄντος, προσγενομένου δέ, οὐδὲν οἷόν τε εἰς μέγεθος ἐπιδοῦναι. καὶ οὕτως ἂν ἤδη τὸ προσγινόμενον οὐδὲν εἴη. εἰ δὲ ἀπογινομένου τὸ ἕτερον μηδὲν ἔλαττον ἔσται μηδὲ αὖ προσγινομένου αὐξήσεται, δῆλον ὅτι τὸ προσγενόμενον οὐδὲν ἦν οὐδὲ τὸ ἀπογενόμενον* Μέλισσος 7(3)-(4) *ὅτε δὲ μήτε προσγίνεται μηδὲν μήτε ἀπόλλυται μήτε ἑτεροιοῦται, πῶς ἂν μετακοσμηθὲν τῶν ἐόντων εἴη; ... οὐδὲ ἀλγεῖ· οὐ γὰρ ἂν πᾶν εἴη ἀλγέον· οὐ γὰρ ἂν δύναιτο ἀεὶ εἶναι χρῆμα ἀλγέον· οὐδὲ ἔχει ἴσην δύναμιν τῷ ὑγιεῖ· οὐδ' ἂν ὁμοῖον εἴη, εἰ ἀλγέοι· ἀπογινομένου γάρ τευ ἂν ἀλγέοι ἢ προσγινομένου, κοὐκ ἂν ἔτι ὁμοῖον εἴη.*

προσεδρεύειν. Εἶμαι προσηλωμένος/ἐμμένω, be attached to/persist, Δημόκριτος 191.9-15 *τῇ διανοίᾳ μὴ προσεδρεύοντα ... καὶ τῇ μνήμῃ πᾶσαν ὥραν προσεδρεύων.*

προσήγορος. Βλ. **ποτάγορος.**

προσηνής. Προσηνὴς/φιλικός, gentle/friendly, Ἐμπεδοκλῆς 130.1 *ἦσαν δὲ κτίλα πάντα καὶ ἀνθρώποισι προσηνῆ.* Πρβλ. *κτίλος.*

πρόσθεν (ἀντίθ. *ὕστερον*). Πρὶν/προτοῦ, before, Ἡράκλειτος 1 *καὶ πρόσθεν ἢ ἀκοῦσαι* Παρμενίδης 8.10 *ὕστερον ἢ πρόσθεν* Μέλισσος 7(2) *ἀλλὰ ἀπόλλυσθαι τὸ πρόσθεν ἐὸν* Ἐμπεδοκλῆς 139.1 *οἴμοι ὅτι οὐ πρόσθεν με διώλεσε νηλεὲς ἦμαρ.* || **ἐν τοῖς πρόσθεν.** Στὰ προηγούμενα, to the preceding, Ἀναξαγόρας 12.6 *ὥσπερ ἐν τοῖς πρόσθεν μοι λέλεκται.*

προσκέπτεσθαι. Ἐξετάζω/προσέχω, examine/attend to, Δημόκριτος 93 *χαριζόμενος προσκέπτεο τὸν λαμβάνοντα, μὴ κακὸν ἀντ' ἀγαθοῦ κίβδηλος ἐὼν ἀποδῷ.*

προσκοπεύεσθαι. Σκοπεύω/ἔχω κατὰ νοῦ, intend/keep in mind, Δημόκριτος 92 *χάριτας δέχεσθαι χρεὼν προσκοπευόμενον κρέσσονας αὐτῶν ἀμοιβὰς ἀποδοῦναι.*

προσκρίνεσθαι (ἀντίθ. *ἀποκρίνεσθαι*). Προστίθεμαι κατόπιν διαχωρισμοῦ, be added after separation, Ἀναξαγόρας 14 *ἐν τῷ πολλῷ περιέχοντι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις.* Πρβλ. *συγκρίνεσθαι.*

προσκυρεῖν. Προσπίπτω/συναπαντῶ, fall before/meet with, Ἐμπεδοκλῆς 2.5 *αὐτὸ μόνον πεισθέντες, ὅτῳ προσέκυρσεν ἕκαστος πάντοσ' ἐλαυνόμενοι, τὸ δ' ὅλον ⟨πᾶς⟩ εὔχεται εὑρεῖν.* Πρβλ. *ἀντιᾶν, κύρειν.*

προσορᾶν. Προσβλέπω/ἀτενίζω, look upon/gaze at, Ξενοφάνης 2.6 *ἀστοῖσίν κ' εἴη κυδρότερος προσορᾶν.*

προσπλάζειν. Εἶμαι πλησίον/συνορεύω, be near/be adjacent to, Ξενοφάνης 28.2 *ἠέρι προσπλάζον.*

πρόσφυσις. Πρόσφυση/συνάρθρωση, joint, Διογένης 6.18 *αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι (sc. φλέβες) σχίζονται κατὰ τὴν πρόσφυσιν.*

πρόσω. Πρόσω, forward, Ἀναξαγόρας 15 *εἰς τὸ πρόσω τοῦ αἰθέρος.*

πρόσωπον. Πρόσωπο/ὄψη, face/visage, Ἐμπεδοκλῆς 44 *ἀντανγεῖ πρὸς Ὄλυμπον ἀταρβήτοισι προσώποις.*

προτελεῖν. Χορηγῶ, grant/give, Δημόκριτος 255.2 *καὶ προτελεῖν τολμέωσι καὶ ὑπουργεῖν καὶ χαρίζεσθαι.*

προτιμᾶν (συνών. *αἱρεῖσθαι*). Προτιμῶ/προκρίνω, prefer in honour, Ἡράκλειτος 55 *ὅσων ὄψις ἀκοὴ μάθησις, ταῦτα ἐγὼ προτιμέω.*

πρότιμος. Ὑπέρτατος σὲ τιμὴ/ἄξιος περισσότερης τιμῆς, highest in honour, Ξενοφάνης 2.17 *οὐδὲ μὲν εἰ ταχυτῆτι ποδῶν, τόπερ ἐστὶ πρότιμον ῥώμης ὅσσ' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει.*

Ακαδημία Αθηνών / Academy of Athens

προτροπή. Προτροπὴ/παραίνεση, exhortation/counsel, Δημόκριτος A 125 (DK II 112,30) *διαταγῇ ... ῥυθμῷ ... π ρ ο τ ρ ο π ῇ* 181.2 *κρείσσων ἐπ' ἀρετὴν φανεῖται π ρ ο τ ρ ο π ῇ χρώμενος καὶ λόγου πειθοῖ ἥπερ νόμῳ καὶ ἀνάγκῃ.*

πρόφασις. Πρόφαση, pretext/excuse, Δημόκριτος 119 *ἄνθρωποι τύχης εἴδωλον ἐπλάσαντο π ρ ό φ α σ ι ν ἰδίης ἀβουλίης* 222 *π ρ ό φ α σ ί ς ἐστι φιλαργυρίης.*

πρόφρων. Πρόθυμος/εὐνοϊκός, earnest/benevolent, Παρμενίδης 1.22 *καί με θεὰ π ρ ό φ ρ ω ν ὑπεδέξατο, χεῖρα δὲ χειρὶ δεξιτερὴν ἕλεν, ὧδε δ' ἔπος φάτο καί με προσηύδα.*

πρόχειρος. Ἄμεσα ἐφικτός, directly achievable, Ξενοφάνης 1.16 *σπείσαντας δὲ καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι πρήσσειν — ταῦτα γὰρ ὧν ἐστι π ρ ο χ ε ι ρ ό τ ε ρ ο ν.*

πρῶτος. Πρῶτος, first, Φιλόλαος 13.3 *ὀμφαλὸς δὲ ῥιζώσιος καὶ ἀναφύσιος τοῦ π ρ ώ τ ο υ.*

πτοεῖσθαι. Πτοοῦμαι/θορυβοῦμαι,be frightened/become anxious, Ἡράκλειτος 87 *βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ ἐ π τ ο ῆ σ θ α ι φιλεῖ.*

πτῶμα. Πτώση/ἀποτυχία, fall/failure, Δημόκριτος 125 *τάλαινα φρήν, παρ' ἡμέων λαβοῦσα τὰς πίστεις ἡμέας καταβάλλεις; π τ ῶ μ ά τοι τὸ κατάβλημα.* Πρβλ. *πίπτειν.*

πυθμήν. Θεμελιακὸς ἀριθμὸς/ρίζα (ἀριθμοῦ), fundamental number/root (of a number), Ἀρχύτας A 17 (DK I 429,5) πρώτους λαβόντες ἀριθμούς, οὓς ἐκάλουν *π υ θ μ έ ν α ς.*

πυκινός. Βλ. **πυκνός.**

πυκνάρμων. Ἁρμοσμένος πυκνά, densely fitted, Δημόκριτος A 93 (DK II 106,23) κεραυνὸν δέ, ὅταν ἐκ καθαρωτέρων καὶ λεπτοτέρων ὁμαλωτέρων τε καὶ *π υ κ ν α ρ μ ό ν ω ν*, καθάπερ αὐτὸς γράφει, γεννητικῶν τοῦ πυρὸς ἡ φορὰ βιάζηται. Πρβλ. *πυκνός, πυκνοῦν, πύκνωσις.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

πυκνὸς (τύπ. *πυκινός*, συνών. *ναστός*, *πλέως*, ἀντίθ. *ἀραιός*, *μανός*) **1.** Πυκνὸς/στερεός, thick/solid, Ξενοφάνης 17 *ἑστᾶσιν δ' ἐλάτης ⟨βάκχοι⟩ π υ κ ι ν ὸ ν περὶ δῶμα* **2.** Πυκνὸς/συμπαγής, dense/compact, Παρμενίδης 8.59 *νύκτ' ἀδαῆ, π υ κ ι ν ὸ ν δέμας ἐμβριθές τε* Μέλισσος 7(8) *π υ κ ν ὸ ν δὲ καὶ ἀραιὸν οὐκ ἂν εἴη. τὸ γὰρ ἀραιὸν οὐκ ἀνυστὸν πλέων εἶναι ὁμοίως τῷ π υ κ ν ῷ, ἀλλ' ἤδη τὸ ἀραιόν γε κενεώτερον γίνεται τοῦ π υ κ ν ο ῦ* Ἐμπεδοκλῆς 75.1 *τῶν δ' ὅσ' ἔσω μὲν π υ κ ν ά, τὰ δ' ἔκτοθι μανὰ πέπηγε.* || Ἀναξαγόρας 12.23 *καὶ ἀποκρίνεται ἀπό τε τοῦ ἀραιοῦ τὸ π υ κ ν ὸ ν* 15 *τὸ μὲν π υ κ ν ὸ ν καὶ διερὸν καὶ ψυχρὸν καὶ τὸ ζοφερὸν ἐιθάδε συνεχώρησεν, ἔνθα νῦν ⟨ἡ γῆ⟩* **3.** Πυκνὸς/πυκνοβαλμένος, thick/densely, Ἐμπεδοκλῆς 82.1 *ταὐτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ π υ κ ν ὰ καὶ λεπίδες γίγνονται ἐπὶ στιβαροῖσι μέλεσσιν* 100.3 -13 *καί σφιν ἐπὶ στομίοις π υ κ ι ν α ῖ ς τέτρηνται ἄλοξιν ... ἀλλά μιν εἴργει ἀέρος ὄγκος ἔσωθε πεσὼν ἐπὶ τρήματα π υ κ ν ὰ* **4.** Πυκνὸς/συμπιεσμένος, thick/compressed, Ἐμπεδοκλῆς 27.3 *οὕτως Ἁρμονίης π υ κ ι ν ῷ κρύφῳ ἐστήρικται Σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέι γαίων* 100.14 *εἰσόκ' ἀποστεγάσῃ π υ κ ι ν ὸ ν ῥόον.*

πυκνοῦν. Συμπυκνώνω, condense, Δημόκριτος A 135 (DK II 115,28) *ἥλιον ἀπωθοῦντα ἀφ' ἑαυτοῦ καὶ ἀποπληττόμενον π υ κ ν ο ῦ ν τὸν ἀέρα.* Πρβλ. *πυκνός*, *πύκνωσις*, *πυκνάρμων.*

πύκνωσις (ἀντίθ. *μάνωσις*). Πύκνωση/συμπύκνωση, condensation, Ἀναξιμένης A 5 (DK I 91,23) Θεόφραστος ἐν τῇ Ἱστορίᾳ *τὴν μάνωσιν* εἴρηκε *καὶ π ύ κ ν ω σ ι ν.* Πρβλ. *πυκνός*, *πυκνοῦν*, *πυκνάρμων.*

πύλη. Πύλη, gate, Παρμενίδης 1.11-17 *ἔνθα π ύ λ α ι Νυκτός τε καὶ Ἡματός εἰσι κελεύθων ... π υ λ έ ω ν ἄπο* Ἐμπεδοκλῆς 100.19 *ἀμφὶ π ύ λ α ς ἠθμοῖο δυσηχέος ἄκρα κρατύνων.* || Πυθαγόρειοι 1a (DK I 450,13) *ἡλίου π ύ λ α ς* καλεῖ τοὺς ὀφθαλμούς.

πύματος (συνών. *ἔσχατος*). Ἔσχατος/ἐξωτερικός, last/external, Παρμενίδης 8.42-44 *αὐτὰρ ἐπεὶ πεῖρας π ύ μ α τ ο ν, τετελεσμένον ἐστὶ πάντοθεν, εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ, μεσ-*

Ακαδημία Αθηνών / Academy of Athens

σόθεν ἰσοπαλὲς πάντῃ 'Εμπεδοκλῆς 100.1-2 *ὧδε δ' ἀναπνεῖ πάντα καὶ ἐκπνεῖ· πᾶσι λίφαιμοι σαρκῶν σύριγγες π ύ μ α τ ο ν κατὰ σῶμα τέτανται.*

πυνθάνεσθαι 1. Μαθαίνω/πληροφοροῦμαι, learn/be informed, Παρμενίδης 1.28 *χρεὼ δέ σε πάντα π υ θ έ σ θ α ι* 10.4 *ἔργα τε κύκλωπος π ε ύ σ η περίφοιτα σελήνης καὶ φύσιν* 'Εμπεδοκλῆς 2.9 *αὐὸ δ' οὖν, ἐπεὶ ὧδ' ἐλιάσθης, π ε ύ σ ε α ι οὐ πλέον ἠὲ βροτείη μῆτις ὄρωρεν* 111.2 *φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ π ε ύ σ η, ἐπεὶ μούνῳ σοὶ ἐγὼ κρανέω τάδε πάντα* **2.** 'Ερωτῶ/ζητῶ, ask/inquire, 'Εμπεδοκλῆς 112.11 *οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δ' ἐπὶ νούσων παντοίων ἐ π ύ θ ο ν τ ο κλυεῖν εὐηκέα βάξιν.* Πρβλ. *μανθάνειν, γι(γ)νώσκειν, εἰδέναι.*

πύον. Πύον, pus, 'Εμπεδοκλῆς 68 *μηνὸς ἐν ὀγδοάτου δεκάτῃ π ύ ο ν ἔπλετο λευκόν.*

πῦρ 1. Πῦρ/φωτιά, fire, Ξενοφάνης 22.1 *πὰρ π υ ρ ὶ χρὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ* 'Ηράκλειτος 67 *ἀλλοιοῦται δὲ (sc. ὁ θεός) ὅκωσπερ ⟨π ῦ ρ⟩, ὁπόταν συμμιγῇ θυώμασιν, ὀνομάζεται καθ' ἡδονὴν ἑκάστου* 'Εμπεδοκλῆς 52 *πολλὰ δ' ἔνερθ(ε) οὖδεος π υ ρ ὰ καίεται* 84.2-7-11 *ὡς δ' ὅτε τις πρόοδον νοέων ὡπλίσσατο λύχνον χειμερίην διὰ νύκτα, π υ ρ ὸ ς σέλας αἰθομένοιο, ἄψας παντοίων ἀνέμων λαμπτῆρας ἀμοργοὺς ... ὣς δὲ τότ' ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον π ῦ ρ ... αἱ δ' ὕδατος μὲν βένθος ἀπέστεγον ἀμφιναέντος, π ῦ ρ δ' ἔξω διίεσκον, ὅσον ταναώτερον ἦεν* Πυθαγόρειοι C 6 (DK I 465,22) *μαχαίρᾳ π ῦ ρ μὴ σκαλεύειν* **2.** Τὸ Πῦρ (ὡς κοσμικὴ ἀρχή), Fire (as a cosmic principle), 'Ηράκλειτος A 14α (DK I 147,13) *π ῦ ρ ... ἀείζωον* 30 *κόσμον τόνδε, τὸν αὐτὸν ἁπάντων, οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν, ἀλλ' ἦν ἀεὶ καὶ ἔστιν καὶ ἔσται π ῦ ρ ἀείζωον, ἁπτόμενον μέτρα καὶ ἀποσβεννύμενον μέτρα* 31 *π υ ρ ὸ ς τροπαὶ πρῶτον θάλασσα, θαλάσσης δὲ τὸ μὲν ἥμισυ γῆ, τὸ δὲ ἥμισυ πρηστὴρ* 66 *πάντα ... τὸ π ῦ ρ ἐπελθὸν κρινεῖ καὶ καταλήψεται* 90 *π υ ρ ό ς τε ἀνταμοιβὴ τὰ πάντα καὶ π ῦ ρ ἁπάντων ὅκωσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσός* **3.** Τὸ πῦρ (ὡς στοιχεῖο), fire (as an element), Μέλισσος 8(2) *εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ π ῦ ρ* 'Εμπεδοκλῆς 17.18 *π ῦ ρ καὶ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ὕδωρ καὶ γαῖα καὶ ἠέρος ἄπλετον ὕψος 62.2-6 *ἀνδρῶν τε πολυκλαύτων τε γυναικῶν ἐννυχίους ὄρπηκας ἀνήγαγε κρινόμενον π ῦ ρ ... τοὺς μὲν π ῦ ρ ἀνέπεμπε θέλον πρὸς ὁμοῖον ἱκέσθαι* 73.2 *ὡς δὲ τότε χθόνα Κύπρις, ἐπεί τ' ἐδίηνεν ἐν ὄμβρῳ, εἶδεα ποιπνύουσα θοῷ π υ ρ ὶ δῶκε κρατῦναι* 109.2 *γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ π υ ρ ὶ π ῦ ρ ἀίδηλον, στοργὴν δὲ στοργῇ, νεῖκος δέ τε νείκεϊ λυγρῷ* Φιλόλκος 12 *καὶ τὰ μὲν τᾶς σφαίρας σώματα πέντε ἐντί, τὰ ἐν τᾷ σφαίρᾳ π ῦ ρ ⟨καὶ⟩ ὕδωρ καὶ γᾶ καὶ ἀήρ, καὶ ὃ τᾶς σφαίρας ὁλκάς (?), πέμπτον* Διογένης 2.4 *εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ ἐόντα νῦν, γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ π ῦ ρ καὶ τὰ ἄλλα ὅσα φαίνεται ἐν τῷδε τῷ κόσμῳ ἐόντα.* || Παρμενίδης 8.56 *σήματ' ἔθεντο χωρὶς ἀπ' ἀλλήλων, τῇ μὲν φλογὸς αἰθέριον π ῦ ρ* 12.1 *αἱ γὰρ στεινότεραι πλῆντο π υ ρ ὸ ς ἀκρήτοιο.* || Δημόκριτος 11e (τίτλ.) *Αἰτίαι περὶ π υ ρ ὸ ς καὶ τῶν ἐν π υ ρ ί.*

πυρός. Κόκκος σίτου, grain of wheat, Δημόκριτος 164.8 *φακοὶ μετὰ φακῶν τάσσονται ... καὶ π υ ρ ο ὶ μετὰ π υ ρ ῶ ν.*

πυρρός. Πυρρός, red, Ξενοφάνης 16.2 *Αἰθίοπές τε ⟨θεοὺς σφετέρους⟩ σιμοὺς μέλανάς τε Θρῇκές τε γλαυκοὺς καὶ π υ ρ ρ ο ύ ς ⟨φασι πέλεσθαι⟩.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

P

ῥᾴδιον. Εὔκολο, easy, Δημόκριτος 192 *ἐστὶ ῥ ᾴ δ ι ο ν μὲν ἐπαινεῖν ἃ μὴ χρὴ καὶ ψέγειν, ἑκάτερον δὲ πονηροῦ τινος ἤθους* Ἀρχύτας 3.5 *ἐξευρεῖν δὲ μὴ ζατοῦντα ἄπορον καὶ σπανιον, ζατοῦντα δὲ εὔπορον καὶ ῥ ᾴ δ ι ο ν, μὴ ἐπιστάμενον δὲ ζητεῖν ἀδύνατον.* Πρβλ. *εὔπορον, εὐπετές.*

ῥάχις. Ραχοκοκκαλιὰ/σπονδυλικὴ στήλη, spinal column, Ἐμπεδοκλῆς 97 *οἷον καὶ τὴν ῥ ά χ ι ν τοιαύτην ἔχειν.*

ῥεῦμα. Ρεῦμα, stream, Ἐμπεδοκλῆς 100.24 *αἰθέρος εὐθὺς ῥ ε ῦ μ α κατέρχεται οἴδματι θῦον* 111.8 *θήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμὸν ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου ῥ ε ύ μ α τ α δενδρεόθρεπτα, τά τ' αἰθέρι ναιήσονται (?).* Πρβλ. *ῥιπή, πνεῦμα.*

ῥευστός. Ἀποσυνθετικός, dissolving, Ἐμπεδοκλῆς 121.3 *αὐχμηραί τε Νόσοι καὶ Σήψιες ἔργα τε ῥ ε υ σ τ ά. Πρβλ. ῥεῦμα, ῥοή, ῥόος, εὖρους.*

ῥηϊδίως (συνών. *εὐπόρως*). Εὔκολα / ἐπιπόλαια, easily/superficially, Ἀνάξαρχος 1 *πολυμαθίη κάρτα μὲν ὠφελεῖ, κάρτα δὲ βλάπτει τὸν ἔχοντα· ὠφελεῖ μὲν τὸν δεξιὸν ἄνδρα, βλάπτει δὲ τὸν ῥ η ϊ δ ί ω ς φωνεῦντα πᾶν ἔπος κὴν παντὶ δήμῳ.*

ῥῆσις. Ρήση, saying, Ἀνάξαρχος 1.5 *οἳ δὲ ἔξω καιροῦ ῥ ῆ σ ι ν ἀείδουσιν, κὴν πεπνυμένην ἀείδωσιν, οὐ τιθέμενοι ἐν σοφίῃ γνώμην αἰτίην ἔχουσι μωρίης.*

ῥιγαλέος. Ριγαλέος/κρυερός, chilly, Ἐμπεδοκλῆς 21.5 *ὄμβρον δ' ἐν πᾶσι δνοφόεντά τε ῥ ι γ α λ έ ο ν τε.*

ῥίζα. Ρίζα, root, Ἐμπεδοκλῆς 54 *αἰθὴρ ⟨δ' αὖ⟩ μακρῇσι κατὰ χθόνα δύετο ῥ ί ζ α ι ς.* Πρβλ. *ῥίζωμα.*

Ακαδημία Αθηνών / Academy of Athens

ῥίζωμα. «Ρίζωμα»/πρωταρχικὸ στοιχεῖο, 'root'/principle element, Ἐμπεδοκλῆς 6.1-3 *τέσσαρα γὰρ πάντων ῥ ι ζ ώ μ α τ α πρῶτον ἄκουε· Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀιδωνεὺς Νῆστίς θ', ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.* Πρβλ. *ῥίζα, ἀρχή.*

ῥίζωσις. Ρίζωση, rooting, Φιλόλαος 13.2 *κεφαλὰ μὲν νόου, καρδία δὲ ψυχᾶς καὶ αἰσθήσιος, ὀμφαλὸς δὲ ῥ ι ζ ώ σ ι ο ς καὶ ἀναφύσιος τοῦ πρώτου, αἰδοῖον δὲ σπέρματος [καὶ] καταβολᾶς τε καὶ γεννήσιος.* Πρβλ. *καταβολή, ῥίζα.*

ῥῖνες (συνών. *μυκτῆρες*). Ρουθούνια, nostrils, Ἡράκλειτος 7 *εἰ πάντα τὰ ὄντα καπνὸς γένοιτο, ῥ ῖ ν ε ς ἂν διαγνοῖεν.*

ῥινός. Δέρμα, skin, Ἐμπεδοκλῆς 100.4 *ἐπὶ στομίοις πυκιναῖς τέτρηνται ἄλοξιν ῥ ι ν ῶ ν ἔσχατα τέρθρα.*

ῥιπή. Ριπὴ/ἀκτινοβολή, flash/ray, Ἐμπεδοκλῆς 56 *ἆλς ἐπάγη ῥ ι π ῇ σ ι ν ἐωσμένος ἠελίοιο.*

ῥοή. Ροή, flow, Ξενοφάνης 2.3 *πὰρ Πίσαο ῥ ο ῇ σ' ἐν Ὀλυμπίῃ.* Πρβλ. *ῥόος.*

ῥόμβος. «Ρόμβος»/ὄργανο χρησιμοποιούμενο στὰ μυστήρια, spinning thing/instrument used in the mysteries, Ἀρχύτας 1.46 *ἀλλὰ μὰν καὶ τοῖς ῥ ό μ β ο ι ς τοῖς ἐν ταῖς τελεταῖς κινουμένοις τὸ αὐτὸ συμβαίνει· ἡσυχᾷ μὲν κινούμενοι βαρὺν ἀφιέντι ἄχον, ἰσχυρῶς δέ, ὀξύν.*

ῥόος. Ροῦς, current, Ἐμπεδοκλῆς 100.14 *εἰσόκ' ἀποστεγάσῃ πυκινὸν ῥ ό ο ν.* Πρβλ. *ῥοή.*

ῥυθμὸς (τύπ. *ῥυσμός*) **1.** Διαρθρωτικὸ σχῆμα/μορφή, shape/form, Λεύκιππος A 6 (DK II 72,21 καὶ 30) *ῥ υ σ μ ῷ καὶ διαθιγῇ καὶ τροπῇ ... ῥ υ σ μ ὸ ς* A 28 (DK II 78,21) *ῥ υ σ μ ο ὺ ς* Δημόκριτος A 38 (DK II 94,7) *ῥ υ σ μ ὸ ς τροπὴ διαθιγὴ* A 125 (DK II 112,30) *διαταγῇ ... ῥ υ θ μ ῷ ... προτροπῇ* 5i (τίτλ.) *Περὶ τῶν διαφερόντων ῥ υ σ μ ῶ ν* ⟨*ἢ Περὶ ἰδεῶν*⟩ **2.** Ρυθμός, rhythm, Δημόκριτος 15c (τίτλ.) *Περὶ ῥ υ θ μ ῶ ν καὶ*

Ακαδημία Αθηνών / Academy of Athens

ἁρμονίης **3.** Πολιτειακὸ σύστημα, political system, Δημόκριτος 266.2 *οὐδεμία μηχανὴ τῷ νῦν καθεστῶτι ῥ υ θ μ ῷ μὴ οὐκ ἀδικεῖν τοὺς ἄρχοντας.*

ῥυσμός. Βλ. **ῥυθμός.**

ῥυσμοῦσθαι. Ρυθμίζομαι/διαμορφώνομαι, be arranged/be shaped, Δημόκριτος 197 *ἀνοήμονες ῥ υ σ μ ο ῦ ν τ α ι τοῖς τῆς τύχης κέρδεσιν, οἱ δὲ τῶν τοιῶνδε δαήμονες τοῖς τῆς σοφίης.* Πρβλ. *ῥυσμός.*

ῥώμη. Ρώμη/σωματικὴ δύναμη, bodily strength, Ξενοφάνης 2.11-14-18 *ῥ ώ μ η ς γὰρ ἀμείνων ... ἡμετέρη σοφίη ... οὐδὲ δίκαιον προκρίνειν ῥ ώ μ η ν τῆς ἀγαθῆς σοφίης ... ῥ ώ μ η ς ὅσο' ἀνδρῶν ἔργ' ἐν ἀγῶνι πέλει.*

ῥώννυσθαι. Ὑγιαίνω/νοιώθω εὔρωστος, be healthy/feel strong, Δημόκριτος 174 *ὁ μὲν εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα καὶ ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ ἔ ρ ρ ω τ α ι καὶ ἀνακηδής ἐστιν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Σ

σάλος. Σάλος/ἀναταραχή, commotion/agitation, Δημόκριτος A 77 (DK II 103,25) *φοιτᾶν δὲ ταῦτα πανταχόθεν ἀπιόντα καὶ σκευῶν καὶ ἱματίων καὶ φυτῶν, μάλιστα δὲ ζώων ὑπὸ σ ά λ ο υ πολλοῦ καὶ θερμότητος* 148 *ὁ γὰρ ὀμφαλὸς πρῶτον ἐν μήτρῃσιν ... ἀγκυρηβόλιον σ ά λ ο υ καὶ πλάνης ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γεννωμένῳ καρπῷ καὶ μέλλοντι.*

σαπέν. Βλ.. **σήπεσθαι.**

σάρκινος. Σάρκινος, fleshy, Ἐμπεδοκλῆς 99 *σ ά ρ κ ι ν ο ς ὄζος.* Πρβλ.. *σαρκώδης.*

σαρκώδης. Σαρκώδης, fleshy, Διογένης 6.49 *τὸ δ' αἷμα τὸ μὲν παχύτατον ὑπὸ τῶν σ α ρ κ ω δ ῶ ν ἐκπίνεται.* Πρβλ. *σάρκινος.*

σάρξ. Σάρκα/τὸ σαρκῶδες μέρος τοῦ σώματος, flesh/the fleshy part of the body, Ἐμπεδοκλῆς 98.5 *αἱμά τε γέντο καὶ ἄλλης εἴδεα σ α ρ κ ὸ ς* 100.2 *πᾶσι λίφαιμοι σ α ρ κ ῶ ν σύριγγες πύματον κατὰ σῶμα τέτανται* 126 *σ α ρ κ ῶ ν ἀλλογνῶτι περιστέλλουσα χιτῶνι* 137.6 *φίλας κατὰ σ ά ρ κ α ς ἔδουσιν* Πυθαγόρειοι C 6 (DK II 466,13) *κυάμων ... ἀπέχεσθαι καθάπερ ἀνθρωπίνων σ α ρ κ ῶ ν* Ἀναξαγόρας 10 *πῶς γὰρ ἂν ... ἐκ μὴ τριχὸς γένοιτο θρὶξ καὶ σ ὰ ρ ξ ἐκ μὴ σ α ρ κ ό ς;* Διογένης 6.42 *ὑπὸ τὸ δέρμα καὶ διὰ τῆς σ α ρ κ ὸ ς τείνουσιν εἰς τοὺς νεφροὺς* Δημόκριτος 5d (τίτλ.) *Περὶ φύσεως Β ἢ Περὶ ἀνθρώπου φύσιος ἢ Περὶ σ α ρ κ ό ς.*

σαφήνεια. Σαφήνεια, clearness, Ἀλκμαίων 1 *περὶ τῶν ἀφανέων, περὶ τῶν θνητῶν σ α φ ή ν ε ι α ν μὲν θεοὶ ἔχοντι, ὡς δὲ ἀνθρώποις τεκμαίρεσθαι.* Πρβλ. *Ἀσάφεια.*

σαφής. Σαφὴς/ἀκριβής, clear/exact, Ἀρχύτας 1.6 *περί τε δὴ τᾶς τῶν ἄστρων ταχυτᾶτος καὶ ἐπιτολᾶν καὶ δυσίων παρέδωκαν ἁμῖν σ α φ ῆ διάγνωσιν καὶ περὶ γαμετρίας καὶ ἀριθμῶν καὶ σφαι-*

Ακαδημία Αθηνών / Academy of Athens

ρικᾶς.|| τὸ **σαφές.** Ξενοφάνης 34.1 *καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴδεν οὐδέ τις ἔσται εἰδὼς ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων.*

σβεννύναι. Σβύνω, extinguish/quell, Ἡράκλειτος 43 *ὕβριν χρὴ σβεννύναι μᾶλλον ἢ πυρκαϊήν.*

σεαυτοῦ. Τοῦ ἑαυτοῦ σου, of thyself, Δημόκριτος 244 *μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.*

σεβίζεσθαι. Τιμῶμαι/εἶμαι σεβαστός, be honoured/be respected, Ἐμπεδοκλῆς 112.8 *ἀνδράσιν ἠδὲ γυναιξί, σεβίζομαι.*

σέλας. Λάμψη/φῶς, blaze/light, Ἐμπεδοκλῆς 84.2 *πυρὸς σέλας αἰθομένοιο* Δημόκριτος 152 *παρ' αἰθρίης στέγειν ⟨εὐαγὲς⟩ σέλας.*

σεληναίη. Σελήνη, moon, Ἐμπεδοκλῆς 43 *ὡς αὐγὴ τύψασα σεληναίης κύκλον εὐρύν.*

σελήνη. Σελήνη, moon, Παρμενίδης 10.4 *ἔργα τε κύκλωπος πεύσῃ περίφοιτα σελήνης καὶ φύσιν* 11.1 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη ... ὡρμήθησαν γίγνεσθαι* Ἐμπεδοκλῆς 40 *Ἥλιος ὀξυβελὴς ἠδ' ἱλάειρα Σελήνη* Ἀναξαγόρας 4.8 *ἠέλιόν τε αὐτοῖσιν εἶναι καὶ σελήνην καὶ τὰ ἄλλα, ὥσπερ παρ' ἡμῖν* 12.20 *τά τε ἄστρα καὶ ὁ ἥλιος καὶ ἡ σελήνη* 18 *ἥλιος ἐντίθησι τῇ σελήνῃ τὸ λαμπρὸν* Δημόκριτος 5 *περὶ ἡλίου καὶ σελήνης.*

σεμνός. Σεμνοπρεπὴς/ἀξιοσέβαστος, dignified/respectable, Διογένης 1 *τὴν δὲ ἑρμηνείαν ἁπλῆν καὶ σεμνήν.*

σῆμα 1. Σῆμα/σημάδι, sign, Παρμενίδης 8.2-55 *ταύτῃ δ' ἐπὶ σήματ' ἔασι πολλὰ μάλ' ... τἀντία δ' ἐκρίναντο δέμας καὶ σήματ' ἔθεντο χωρὶς ἀπ' ἀλλήλων.* || Παρμενίδης 10.2 *εἴσῃ δ' αἰθερίαν τε φύσιν τά τ' ἐν αἰθέρι πάντα σήματα* **2.** Μνῆμα/τάφος.

Ακαδημία Αθηνών / Academy of Athens

tomb/grave, Φιλόλαος 14 *διά τινας τιμωρίας ἁ ψυχὰ τῷ σώματι συνέζευκται καὶ καθάπερ ἐν σ ά μ α τ ι τούτῳ τέθαπται.*

σημαίνειν 1. Σημαίνω/ὑποδηλώνω, signify/designate, Ἡράκλειτος 93 *ὁ ἄναξ, οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς, οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σ η μ α ί ν ε ι* **2.** Ἐμφαίνω, demonstrate, Φιλόλαος 5 *ἑκατέρῳ δὲ τῶ εἴδεος πολλαὶ μορφαί, ἃς ἕκαστον αὐταυτὸ σ η μ α ί ν ε ι* **3.** Σημαίνω, mean/indicate, Δημόκριτος 212 *ἡμερήσιοι ὕπνοι σώματος ὄχλησιν ἢ ψυχῆς ἀδημοσύνην ἢ ἀργίην ἢ ἀπαιδευσίην σ η μ α ί ν ο υ σ ι.*

σημεῖον. Ἀπόδειξη/τεκμήριο, proof/evidence, Μέλισσος 8 (1) *μέγιστον μὲν οὖν σ η μ ε ῖ ο ν οὗτος ὁ λόγος, ὅτι ἓν μόνον ἔστιν· ἀτὰρ καὶ τάδε σ η μ ε ῖ α* Διογένης 4.1 *ἔτι δὲ πρὸς τούτοις καὶ τάδε μεγάλα σ η μ ε ῖ α. ἄνθρωποι γὰρ καὶ τὰ ἄλλα ζῷα ἀναπνέοντα ζώει τῷ ἀέρι.* || Ἀρχύτας 1.39 *ἀλλὰ μὰν καὶ τούτῳ γά κα ἴδοιμες ἰσχυροτάτῳ σ α μ ε ί ῳ, ὅτι τῶ αὐτῶ φθεγξαμένω μέγα μὲν πόρσωθέν κ' ἀκούσαιμες· μικρὸν δέ, οὐδ' ἐγγύθεν.* Πρβλ. *σῆμα, σύμβολον.*

σηπεδών (συνών. *σῆψις, πέψις*). Σήψη/ζύμωση, rotting/fermentation, Ἐμπεδοκλῆς A 76 (DK I 298,30) *ἐπειδὰν τὸ θερμὸν καὶ ψυχρὸν σ η π ε δ ό ν α τινὰ λάβῃ.*

σήπεσθαι. Σαπίζω/παθαίνω ζύμωση, rot/be fermented, Ἐμπεδοκλῆς 81 *οἶνος ἀπὸ φλοιοῦ πέλεται σ α π ὲ ν ἐν ξύλῳ ὕδωρ.* Πρβλ. *σῆψις, ἄσηπτος, σηπεδών.*

σῆψις 1. Σήψη/πέψη, rotting/digestion, Ἐμπεδοκλῆς A 77 (DK I 299,2) *πῶς Ἱπποκράτης καὶ Ἐρασίστρατος καὶ Ἐ. καὶ Ἀσκληπιάδης τὰς πέψεις τῆς τροφῆς φασι γίνεσθαι... Ἐ. δὲ σ ή ψ ε ι* **2.** Σήψη/ζύμωση, rotting/fermentation, Μενέστωρ 7 *ὁποία γὰρ ἄν τις ἡ μίξις καὶ ἡ σ ῆ ψ ι ς γένηται τοῦ ὑγροῦ ἐμφύτου, τοιοῦτον εἶναι καὶ τὸν χυμὸν* **3.** Σήψη (προσωποπ.), Dissolution (personif.), Ἐμπεδοκλῆς 121.3 *ἀτερπέα χῶρον, ἔνθα Φόνος τε Κότος τε καὶ ἄλλων ἔθνεα Κηρῶν αὐχμηραί τε Νόσοι*

Ακαδημία Αθηνών / Academy of Athens

καὶ Σήψιες ἔργα τε ῥευστὰ Ἄτης ἀν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν. Πρβλ. *ἄσηπτος, σαπέν, σηπεδών.*

σίδη. Ρόδι, pomegranate, Ἐμπεδοκλῆς 80 *ὀψίγονοί τε σίδαι.*

σίδηρος. Σίδηρος, iron, Μέλισσος 8(2)-(3) *εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ σίδηρος καὶ χρυσὸς ... ἀλλ' ὅ τε σίδηρος σκληρὸς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι ὁμουρέων, καὶ χρυσὸς καὶ λίθος καὶ ἄλλο ὅ τι ἰσχυρόν.*

σκαληνός. Ἀνώμαλος/μὴ κανονικός, uneven/not regular, Δημόκριτος A 135 (DK II 118,18-19-23) *ἀλλ' ἐπ' ἐνίων μὲν σκαληνῶν, ⟨ἐπὶ δὲ πλείστων οὐ σκαληνῶν⟩, διὸ οὐδὲ πολυκαμπῶν* (βούλεται δὲ *σκαληνὰ* λέγειν *ἅπερ περιπάλαξιν ἔχει πρὸς ἄλληλα καὶ συμπλοκήν*) ... *οὐ σκαληνῶν δὲ διὰ τὸ μὴ περιπαλάττεσθαι.*

σκέλος. Σκέλος, leg, Ξενοφάνης 6.1 *πέμψας γὰρ κωλῆν ἐρίφου σκέλος ἤραο πῖον* Διογένης 6.4-17 *τείνουσι (sc. φλέβες) διὰ τῆς κοιλίας παρὰ τὴν νωτιαίαν ἄκανθαν, ἡ μὲν ἐπὶ δεξιά, ἡ δ' ἐπ' ἀριστερά, εἰς τὰ σκέλη ἑκατέρα τὰ παρ' ἑαυτῇ καὶ ἄνω εἰς τὴν κεφαλὴν παρὰ τὰς κλεῖδας διὰ τῶν σφαγῶν ... αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι σχίζονται κατὰ τὴν πρόσφυσιν, καὶ διὰ παντὸς τοῦ μηροῦ τείνουσιν.*

σκέπτεσθαι. Σκέπτομαι, think, Ἀρχύτας 1.11 *πρᾶτον μὲν οὖν ἐσκέψαντο, ὅτι οὐ δυνατόν ἐστιν ἦμεν ψόφον μὴ γενηθείσας πληγᾶς τινων ποτ' ἄλλαλα.*

σκεῦος. Σκεῦος, vessel, Δημόκριτος 159.7 *ὥσπερ ὀργάνου τινὸς ἢ σκευούς κακῶς ἔχοντος τὸν χρώμενον ἀφειδῶς αἰτιασάμενος.* Πρβλ. *ὄργανον.*

σκῆνος. Σῶμα, body, Δημόκριτος 37 *ὁ τὰ ψυχῆς ἀγαθὰ αἱρεόμενος τὰ θειότερα αἱρέεται· ὁ δὲ τὰ σκήνεος τὰ ἀνθρωπήϊα*

Ακαδημία Αθηνών / Academy of Athens

57 *κτηνέων μὲν εὐγένεια ἡ τοῦ σκήνεος εὐσθένεια, ἀνθρώπων δὲ ἡ τοῦ ἤθεος εὐτροπίη* 223 *ὧν τὸ σκῆνος χρῄζει, πᾶσι πάρεστιν εὐμαρέως ἄτερ μόχθου καὶ ταλαιπωρίης· ὁκόσα δὲ μόχθου καὶ ταλαιπωρίης χρῄζει καὶ βίον ἀλγύνει, τούτων οὐκ ἰμείρεται τὸ σκῆνος* 270 *οἰκέταισιν ὡς μέρεσι τοῦ σκήνεος χρῶ ἄλλῳ πρὸς ἄλλο* 288 *νόσος οἴκου καὶ βίου γίνεται ὅκωσπερ καὶ σκήνεος.*

σκιά (τύπ. *σκιή*). Σκιά, shadow, Δημόκριτος 145 *λόγος ... ἔργου σκιή.*

σκιδνάναι. Διασκορπίζομαι, disperse, Ἡράκλειτος 91 *σκίδνησι καὶ πάλιν συνάγει.* || **σκίδνασθαι.** Παρμενίδης 4.3 *οὔτε σκιδνάμενον ... οὔτε συνιστάμενον* Δημόκριτος A (DK II 116,13) *σκίδνασθαι διὰ τὸ τάχος.*

σκιερός. Σκιερός, shady, Ἐμπεδοκλῆς 61.4 *πολλὰ μὲν ἀμφιπρόσωπα καὶ ἀμφίστερνα φύεσθαι, βουγενῆ ἀνδρόπρωρα, τὰ δ' ἔμπαλιν ἐξανατέλλειν ἀνδροφυῆ βούκρανα, μεμειγμένα τῇ μὲν ἀπ' ἀνδρῶν τῇ δὲ γυναικοφυῆ σκιεροῖς ἠσκημένα γυίοις.*

σκληρός (ἀντίθ. *μαλθακός*). Σκληρός, hard, Μέλισσος 8(3) *ὅ τε σίδηρος σκληρὸς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι ὁμουρέων.* || (τὸ) **σκληρόν.** Μέλισσος 8(3) *δοκεῖ δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίνεσθαι καὶ τὸ ψυχρὸν θερμὸν καὶ τὸ σκληρὸν μαλθακὸν καὶ τὸ μαλθακὸν σκληρόν.* Πρβλ. *κρατύνειν, ἰσχυρός.*

σκολιός (ἀντίθ. *εὐθύς*). Σκολιὸς/λοξότμητος, winding/slanted, Ἡράκλειτος 59 *γναφείῳ ὁδὸς εὐθεῖα καὶ σκολιὴ ... μία ἐστὶ ... καὶ ἡ αὐτή.*

σκότιος (συνών. *σκοτόεις*, ἀντίθ. *γνήσιος*). Ἀσαφὴς/ἀνακριβής, unclear/inexact, Δημόκριτος 11 *γνώμης δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γνησίη, ἡ δὲ σκοτίη· καὶ σκοτίης μὲν τάδε σύμπαντα, ὄψις, ἀκοή, ὀδμή, γεῦσις, ψαῦσις ... ὅταν ἡ σκοτίη μηκέτι*

Ακαδημία Αθηνών / Academy of Athens

δύνηται μήτε ὁρῆν ἐπ' ἔλαττον μήτε ἀκούειν μήτε ὀδμᾶσθαι μήτε γεύεσθαι μήτε ἐν τῇ ψαύσει αἰσθάνεσθαι.

σκοτόεις (συνών. *σκότιος, ζοφερός*, ἀντίθ. *λαμπρός*). Σκοτεινὸς/πλανερός, obscure/misleading, Ἐμπεδοκλῆς 132.2 *ὄλβιος, ὃς θείων πραπίδων ἐκτήσατο πλοῦτον, δειλὸς δ', ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.*

σκοτομήνη. Ἀσέληνη νύχτα, moonless night, Δημόκριτος A 157 (DK II 127,17) διὸ καὶ *ἐν ταῖς σκοτομήνησιν* ὁρᾷ (sc. γλαύξ) διὰ τὸ πυρῶδες τῶν ὄψεων.

σκότος (ἀντίθ. *φῶς*). Σκότος, darkness, Ἐμπεδοκλῆς 121.4 *ἀτερπέα χῶρον, ἔνθα Φόνος τε Κότος τε ... Ἄτης ἀν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν* Πυθαγόρειοι 5 (DK I 452,44) τὰς ἀρχὰς δέκα λέγουσιν εἶναι τὰς κατὰ συστοιχίαν λεγομένας ... *φῶς καὶ σκότος.*

σμικρότης. Μικρότης/μικρὸ μέγεθος, smallness/small size, Ἀναξαγόρας 1.2-3 *ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα ... οὐδὲν ἔνδηλον ἦν ὑπὸ σμικρότητος.*

σοφία (τύπ. *σοφίη*) **1.** Σοφία/πνευματικὴ ἀξιοσύνη, wisdsom/mental skill, Ξενοφάνης 2.12-14 *ῥώμης γὰρ ἀμείνων ἀνδρῶν ἠδ' ἵππων ἡμετέρη σοφίη ... οὐδὲ δίκαιον προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης.* Πρβλ. *ῥώμη* **2.** Σοφία/ὀρθοφροσύνη, wisdom/right-mindedness, Ἡράκλειτος 112 *σωφρονεῖν ἀρετὴ μεγίστη, καὶ σοφίη ἀληθέα λέγειν καὶ ποιεῖν κατὰ φύσιν ἐπαΐοντας* 129 *ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποιήσατο ἑαυτοῦ σοφίην, πολυμαθίην, κακοτεχνίην* Ἀναξαγόρας 21b *ἐμπειρίᾳ δὲ καὶ μνήμῃ καὶ σοφίᾳ καὶ τέχνῃ* Δημόκριτος 31 *ἰατρικὴ μὲν ... σώματος νόσους ἀκέεται, σοφίη δὲ ψυχὴν παθῶν ἀφαιρεῖται* 197 *ἀνοήμονες ῥυσμοῦνται ιοῖς τῆς τύχης κέρδεσιν, οἱ δὲ τῶν τοιῶνδε δαήμονες τοῖς τῆς σοφίης* Ἀνάξαρχος 1.4-6 *χρὴ δὲ καιροῦ μέτρα εἰδέναι· σοφίης γὰρ οὗτος ὅρος. οἳ δὲ ἔξω καιροῦ ῥῆσιν ἀείδουσιν, κῆν πεπνυμένην ἀείδωσιν, οὐ τιθέμενοι ἐν σοφίῃ*

Ακαδημία Αθηνών / Academy of Athens

γνώμην αἰτίην ἔχουσι μωρίης **3.** Σοφία/ἐπιστημοσύνη, wisdom/scientific aptitude, Ἐμπεδοκλῆς 3.8 *σ ο φ ί η ς ἐπ' ἄκροισι θοάζειν* Δημόκριτος 216 *σ ο φ ί η ἄθαμβος ἀξίη πάντων* Ἀρχύτας 4.1 *καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν σ ο φ ί α ν τῶν μὲν ἀλλᾶν τεχνῶν καὶ πολὺ διαφέρειν* **4.** Σοφία/ἐπιστήμη, wisdom/science, Φιλόλαος A 16 (DK I 403,24) περὶ μὲν τὰ τεταγμένα τῶν μετεώρων γίνεσθαι τὴν *σ ο φ ί α ν* Δημόκριτος 59 *οὔτε τέχνη οὔτε σ ο φ ί η ἐφικτόν, ἢν μὴ μάθῃ τις.*

σοφιστής. "Σοφιστὴς"/σοφός, 'sophist'/'wise', Διογένης A 4 (DK II 52,22) ἐμνήσθη καὶ *πρὸς φυσιολόγους* ... οὓς καλεῖ καὶ αὐτὸς *σ ο φ ι σ τ ά ς*. Πρβλ. *σοφός*.

σοφὸς 1. Σοφὸς/νουνεχής, wise/judicious, Ἡράκλειτος 56 *ἐξηπάτηνται ... οἱ ἄνθρωποι πρὸς τὴν γνῶσιν τῶν φανερῶν παραπλησίως Ὁμήρῳ, ὃς ἐγένετο τῶν Ἑλλήνων σ ο φ ώ τ ε ρ ο ς πάντων* 118 *αὕη ψυχὴ σ ο φ ω τ ά τ η καὶ ἀρίστη* Δημόκριτος 47 *νόμῳ καὶ ἄρχοντι καὶ τῷ σ ο φ ω τ έ ρ ῳ εἶκειν κόσμιον.* || (ἀνήρ) **σοφός.** Ἐμπεδοκλῆς 15.1 *οὐκ ἂν ἀνὴρ τοιαῦτα σ ο φ ὸ ς φρεσὶ μαντεύσαιτο* Δημόκριτος 247 *ἀνδρὶ σ ο φ ῷ πᾶσα γῆ βατὴ* **2.** Ὁ σοφός, sage, Δημόκριτος Ob (τίτλ.) *Περὶ τῆς τοῦ σ ο φ ο ῦ διαθέσεως* **3.** Σοφὸς/ἄξιος, wise/worthy, Ἐμπεδοκλῆς 129.3 *παντοίων τε μάλιστα σ ο φ ῶ ν ⟨τ'⟩ ἐπιήρανος ἔργων.* || **(τό) σοφόν.** Τὸ σοφό, the wise, Ἡράκλειτος 32 *ἓν τ ὸ σ ο φ ὸ ν μοῦνον λέγεσθαι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς ὄνομα* 41 *ἓν τ ὸ σ ο φ ό ν, ἐπίστασθαι γνώμην, ὁτέη ἐκυβέρνησε πάντα διὰ πάντων.*

σπάνιος. Σπάνιος, rare, Δημόκριτος 232 *τῶν ἡδέων τὰ σ π α ν ι ώτ α τ α γινόμενα μάλιστα τέρπει* Ἀρχύτας 3.4 *ἐξευρεῖν δὲ μὴ ζατοῦντα ἄπορον καὶ σ π ά ν ι ο ν.*

σπένδειν. Κάνω σπονδή, make a libation, Ξενοφάνης 1.15 *σ π ε ί σ α ν τ α ς δὲ καὶ εὐξαμένους.*

σπέρμα 1. Σπέρμα, sperm, Φιλόλαος 13.3-7 *κεφαλὰ μὲν νόου (sc. ἀρχά) ... αἰδοῖον δὲ σ π έ ρ μ α τ ο ς [καὶ] καταβολᾶς τε*

Ακαδημία Αθηνών / Academy of Athens

καὶ γεννήσιος ... αἰδοῖον δὲ τὰν ξυναπάντων· πάντα γὰρ ἀπὸ σ π έ ρ μ α τ ο ς καὶ θάλλοντι καὶ βλαστάνοντι **2.** Σπέρμα/πρωταρχικὸ στοιχεῖο, germ/principle element, 'Αναξαγόρας 4.2-17 *καὶ σ π έ ρ μ α τ α πάντων χρημάτων ... καὶ σ π ε ρ μ ά τ ω ν ἀπείρων πλῆθος οὐδὲν ἐοικότων ἀλλήλοις* **3.** Σπόρος, seed, Δημόκριτος 11g (τίτλ.) *Αἰτίαι περὶ σ π ε ρ μ ά τ ω ν καὶ φυτῶν καὶ καρπῶν* 164.5 *καθάπερ ὁρᾶν πάρεστιν ἐπί τε τῶν κοσκινευομένων σ π ε ρ μ ά τ ω ν καὶ ἐπὶ τῶν παρὰ ταῖς κυματωγαῖς ψηφίδων.*

σπερματῖτις. Σπερματικὴ/σχετικὴ μὲ τὸ σπέρμα, related to sperm, Διογένης 6.47 *ἕτεραι δ' εἰσίν (sc. φλέβες) ... ὑπὸ τὸ δέρμα καὶ διὰ τῆς σαρκὸς τείνουσιν εἰς τοὺς νεφροὺς καὶ τελευτῶσιν εἰς τοὺς ὄρχεις τοῖς ἀνδράσι, ταῖς δὲ γυναιξὶν εἰς τὰς ὑστέρας ... αὗται δὲ σ π ε ρ μ α τ ί τ ι δ ε ς καλοῦνται.* Πρβλ. σπληνῖτις, ἡπατῖτις.

σπλήν. Σπλήνα, spleen, Διογένης 6.17 *ἀπὸ τῶν πρώτων φλεβῶν τείνουσιν, ἀπὸ μὲν τῆς δεξιᾶς εἰς τὸ ἧπαρ, ἀπὸ δὲ τῆς ἀριστερᾶς εἰς τὸν σ π λ ῆ ν α καὶ τοὺς νεφρούς.*

σπληνῖτις. Σπληνικὴ/σχετικὴ μὲ τὴ σπλήνα, related to spleen, Διογένης 6.11-36-39 *καὶ καλεῖται ἡ μὲν σ π λ η ν ῖ τ ι ς (sc. φλέψ), ἡ δὲ ἡπατῖτις ... καὶ φαίνονται παρά τε τὴν σ π λ η ν ῖ τ ι ν καὶ τὴν ἡπατῖτιν ... τὴν ἡπατῖτιν καὶ τὴν σ π λ η ν ῖ τ ι ν.*

σπονδὴ 1. Σπονδή, libation, 'Εμπεδοκλῆς 128.7 *ξανθῶν τε σ π ο ν δ ὰ ς μελίτων ῥίπτοντες ἐς οὔδας* **2.** Συνθήκη/ἀνακωχή, treaty/truce, Δημόκριτος 259.6 *ἀπείργει δὲ ἱερὰ ἑκάστοισι ἐπιχώρια καὶ σ π ο ν δ α ὶ καὶ ὅρκοι.*

σπουδαιόμυθος. Σπουδαιολόγος, high-speaking/serious-saying, Δημόκριτος 104 *γέρων εὔχαρις ὁ αἰμύλος καὶ σ π ο υ δ α ι ό μ υ θ ο ς.*

στάσιμος. Στάσιμος, stationary, Διογένης 5.9-10 *ἔστι γὰρ*

Ακαδημία Αθηνών / Academy of Athens

(sc. ὁ ἀήρ) πολύτροπος, καὶ θερμότερος καὶ ψυχρότερος καὶ ξηρότερος καὶ ὑγρότερος καὶ σ τ α σ ι μ ώ τ ε ρ ο ς καὶ ὀξυτέρην κίνησιν ἔχων.

στάσις 1. Στάση/ἐπανάσταση, sedition/revolt, Ξενοφάνης 1.23 *οὔτι μάχας διέπων ... ἢ σ τ ά σ ι α ς σφεδανὰς* **2.** Στάση/διαμάχη, sedition/conflict, Ἐμπεδοκλῆς 27a *οὐ σ τ ά σ ι ς οὐδέ τε δῆρις ἀναίσιμος ἐν μελέεσσιν* Δημόκριτος 245 *φθόνος γὰρ σ τ ά σ ι ο ς ἀρχὴν ἀπεργάζεται* 249 *σ τ ά σ ι ς ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις ὁμοίη φθορὴ* Ἀρχύτας 3.7 *σ τ ά σ ι ν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθείς.*

στέγειν. Στεγάζω/περιέχω, cover/contain, Δημόκριτος 152 *διόβλητον μὲν οὐδὲν ... ⟨οἷον μὴ τὸ⟩ παρ' αἰθρίης σ τ έ γ ε ι ν ⟨εὐαγὲς⟩ σέλας.* Πρβλ. *ἀποστέγειν.*

στεινός (ἀντίθ. *πλατύς, εὐρύς*). Στενός, narrow, Παρμενίδης 12.1 *αἱ γὰρ σ τ ε ι ν ό τ ε ρ α ι (sc. στεφάναι) πλῆντο πυρὸς ἀκρήτοιο.*

στεινωπός. Στενὸς/περιορισμένος, narrow/constricted, Ἐμπεδοκλῆς 2.1 *σ τ ε ι ν ω π ο ὶ μὲν γὰρ παλάμαι κατὰ γυῖα κέχυνται.*

στέργεσθαι *(συνών. ἀγαπᾶσθαι).* Συνδέομαι/ἀγαπιέμαι, be tied together/be loved, Ἐμπεδοκλῆς 22.5 *ὡς δ' αὕτως ὅσα κρῆσιν ἐπαρκέα μᾶλλον ἔασιν, ἀλλήλοις ἔ σ τ ε ρ κ τ α ι ὁμοιωθέντ' Ἀφροδίτῃ.* Πρβλ. *στοργή, κατάστοργος.*

στερεωπός. Στερεόμορφος, of solid form, Ἐμπεδοκλῆς 21.6 *ἐκ δ' αἵης προρέουσι θελεμνά τε καὶ σ τ ε ρ ε ω π ά.*

στέφος. Στέφανος, crown/wreath, Ἐμπεδοκλῆς 112.6 *ταινίαις τε περίστεπτος σ τ έ φ ε σ ί ν τε θαλείοις.*

στῆθος. Στῆθος, breast, Παρμενίδης 6.6 *ἀμηχανίη γὰρ ἐν αὐτῶν σ τ ή θ ε σ ι ν ἰθύνει πλακτὸν νόον* Διογένης 6.9 *διὰ τῶν σ τ η θ ῶ ν ὑπὸ τὴν μασχάλην.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

στηρίζεσθαι. Στηρίζομαι, be supported, Ἐμπεδοκλῆς 27.3 *οὕτως Ἁρμονίης πυκινῷ κρύφῳ ἑ σ τ ή ρ ι κ τ α ι Σφαῖρος κυκλοτερής.*

στιβαρός. Στιβαρός, steady, Ἐμπεδοκλῆς 82.2 *λεπίδες γίγνονται ἐπὶ σ τ ι β α ρ ο ῖ σ ι μέλεσσιν.*

στιβάς. Στρῶμα, mattress, Δημόκριτος 246 *μᾶζα γὰρ καὶ σ τ ι β ὰ ς λιμοῦ καὶ κόπου γλυκύτατα ἰάματα.*

στόλος. Πρόβαση/ἔκθεση, procedure/exposure, Ἐμπεδοκλῆς 17.26 *σὺ δ' ἄκουε λόγου σ τ ό λ ο ν οὐκ ἀπατηλόν.*

στόμα. Στόμα, mouth, Ἡράκλειτος 92 *Σίβυλλα δὲ μαινομένῳ σ τ ό μ α τ ι... ἀγέλαστα... φθεγγομένη* Ἐμπεδοκλῆς 3.2 *ἐκ δ' ὁσίων σ τ ο μ ά τ ω ν καθαρὴν ὀχετεύσατε πηγὴν* 39.3 *εἶπερ ἀπείρονα γῆς τε βάθη καὶ δαψιλὸς αἰθήρ, ὡς διὰ πολλῶν δὴ γλώσσας ἐλθόντα ματαίως ἐκκέχυται σ τ ο μ ά τ ω ν ὀλίγον τοῦ παντὸς ἰδόντων* Ἀρχύτας 1.42-43 *καὶ ἔν γα τοῖς αὐλοῖς τὸ ἐκ τῶ σ τ ό μ α τ ο ς φερόμενον πνεῦμα ἐς μὲν τὰ ἐγγὺς τῶ σ τ ό μ α τ ο ς τρυπήματα ἐμπῖπτον διὰ τὰν ἰσχὺν τὰν σφοδρὰν ὀξύτερον ἄχον ἀφίησιν.*

στόμιον. Στόμιο, mouth, Ἐμπεδοκλῆς 100.3 *καί σφιν ἐπὶ σ τ ο μ ί ο ι ς πυκιναῖς τέτρηνται ἄλοξιν ῥινῶν ἔσχατα τέρθρα διαμπερές.*

στοναχή. Στεναγμός, sigh, Ἐμπεδοκλῆς 124.2 *τοίων ἔκ τ' ἐρίδων ἔκ τε σ τ ο ν α χ ῶ ν ἐγένεσθε.*

στοργή. Στοργὴ/ἀγάπη, affection/love, Ἐμπεδοκλῆς 109.3 *γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν ... σ τ ο ρ γ ὴ ν δὲ σ τ ο ρ γ ῇ.* Πρβλ. *Φιλότης, νεῖκος.*

στροφάλιγξ. Δίνη/περιστροφή, whirl, Ἐμπεδοκλῆς 35.4 *ἐν δὲ μέσῃ Φιλότης σ τ ρ ο φ ά λ ι γ γ ι γένηται.* Πρβλ. *δίνη, δῖνος.*

στρυφνός. Στυφός, sour, Δημόκριτος A 135 (DK II 118,13) τὸν δὲ σ τ ρ υ φ ν ὸ ν ἐκ μεγάλων σχημάτων καὶ πολυγωνίων καὶ περιφερὲς ἥκιστ' ἐχόντων. Πρβλ. *δριμύς, ὀξύς.*

Ακαδημία Αθηνών / Academy of Athens

στυγεῖν. Μισῶ/ἀπεχθάνομαι, hate/abhor,'Εμπεδοκλῆς 115.12 *σ τ υ γ έ ο υ σ ι δὲ πάντες* 116 *σ τ υ γ έ ε ι δύστλητον 'Ανάγκην* Δημόκριτος 199 *ἀνοήμονες τὸ ζῆν ὡς (?) σ τ υ γ έ ο ν τ ε ς ζῆν ἐθέλουσι δείματι ἀίδεω.*

στυγερὸς 1. Στυγερὸς/μισητός, odious/hateful, Ξενοφάνης 3.2 *ὄφρα τυραννίης ἦσαν ἄνευ σ τ υ γ ε ρ ῆ ς* **2.** Στυγερὸς/τρομερός, horrible/terrible, Παρμενίδης 12.4 *πάντα γὰρ ⟨ἦ⟩ σ τ υ γ ε ρ ο ῖ ο τόκου καὶ μίξιος ἄρχει.*

σὺ 1. Σύ (μὲ γραμματικὴ ἁπλῶς σημασία), you (with grammatical meaning), 'Ηράκλειτος 125a *μὴ ἐπιλίποι ὑ μ ᾶ ς πλοῦτος ... 'Εφέσιοι* Παρμενίδης 2.1 *κόμισαι δὲ σὺ μῦθον* 6.2-3 *τά σ' ἐγὼ φράζεσθαι ἄνωγα. πρώτης γάρ σ' ἀφ' ὁδοῦ ταύτης διζήσιος ⟨εἴργω⟩* 8.50 *ἐν τῷ σ ο ι παύω πιστὸν λόγον* 'Εμπεδοκλῆς 111.2 *ἐπεὶ μούνῳ σ ο ὶ* 112.4 *ἐγὼ δ' ὑ μ ῖ ν θεὸς ἄμβροτος* **2.** Σύ (μὲ ἀξιολογικὴ ἀναφορά), you (with axiological reference), Παρμενίδης 7.2-3 *ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα μηδέ σ' ἔθος πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω* 'Εμπεδοκλῆς 1.1 *Παυσανίη, σὺ δὲ κλῦθι* 2.8 *σὺ δ' οὖν, ἐπεὶ ὧδ' ἐλιάσθης, πεύσεαι* 3.3 *σὲ ... Μοῦσα, ἄντομαι* 17.26 *σὺ δ' ἄκουε λόγου στόλον οὐκ ἀπατηλόν.*

συγγενεῖς (τύπ. *ξυγγενεῖς*). Οἱ συγγενεῖς, the kin/the relatives, Δημόκριτος 90 *ἢ τῶν σ υ γ γ ε ν ῶ ν ἔχθρη τῆς τῶν ἀθνείων χαλεπωτέρη μάλα* 107 *φίλοι οὐ πάντες οἱ ξ υ γ γ ε ν έ ε ς, ἀλλ' οἱ ξυμφωνέοντες περὶ τοῦ ξυμφέροντος.*

συγγίνεσθαι. 'Ενώνομαι/σμίγω, connect with/mix with, 'Εμπεδοκλῆς 22.8 *πάντῃ σ υ γ γ ί ν ε σ θ α ι ἀήθεα καὶ μάλα λυγρά.*

συγγινώσκεσθαι. Παρέχω συγγνώμη/συγχωρῶ, offer forgiveness/pardon, Δημόκριτος 253.7 *σ υ γ γ ι ν ώ σ κ ε σ θ α ι δὲ τοὺς ἀνθρώπους οὐκ εὐπετές.*

συγγονή. Συγγένεση/σύσταση, syngenesis/composition, Δημόκριτος 137 *σ υ γ γ ο ν ή*: σύστασις. Πρβλ. *γονή, δίγονος.*

Ακαδημία Αθηνών / Academy of Athens

συγγραφὴ 1. Γραπτό, writting, Ἡράκλειτος 129 *ἐκλεξάμενος ταύτας τὰς σ υ γ γ ρ α φ ὰ ς* **2.** Σύγγραμμα, treatise, Διογένης 4 *ὡς δεδηλώσεται ἐν τῇδε τῇ σ υ γ γ ρ α φ ῇ ἐμφανῶς.*

συγκλείεσθαι. Συμπερικλείομαι, be enclosed, Φιλόλαος 6.13 *ἀνάγκα τᾷ τοιαύτᾳ ἁρμονίᾳ σ υ γ κ ε κ λ ε ῖ σ θ α ι.*

συγκρατεῖν. Συγκρατῶ/συνέχω, contain/hold together, Ἀναξιμένης 2 *οἷον ἡ ψυχὴ ... ἡ ἡμετέρα ἀὴρ οὖσα σ υ γ κ ρ α τ ε ῖ ἡμᾶς.*

συγκρίνεσθαι (ἀντίθ. *διακρίνεσθαι*). Συγκροτοῦμαι/συνθέτομαι, be compounded/be joined together, Ἀναξαγόρας 4.2 *χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖς σ υ γ κ ρ ι ν ο μ έ ν ο ι ς. Πρβλ. προσκρίνεσθαι, συνίστασθαι, συμπήγνυσθαι.*

συγκύρειν (τύπ. *ξυγκύρειν*). Συντυγχάνω/συναντῶμαι, meet by chance/meet with, Ἐμπεδοκλῆς 53 *οὕτω γὰρ σ υ ν έ κ υ ρ σ ε θέων τοτέ, πολλάκι δ' ἄλλως* 59.2 *ὅπῃ σ υ ν έ κ υ ρ σ ε ν ἕκαστα* 104 *καὶ καθ' ὅσον μὲν ἀραιότατα ξ υ ν έ κ υ ρ σ ε πεσόντα.*

συγχαλᾶν. Συγχαλαρώνω/σταματῶ ἀμοιβαῖα, relax with/stop mutually, Ἀρχύτας 1.15 *ὅκκα τὰ φερόμενα ἀπαντιάξαντα ἀλλάλοις συμπέτῃ· τὰ μὲν οὖν ἀντίαν φορὰν φερόμενα ἀπαντιάζοντα αὐτὰ αὐτοῖς σ υ γ χ α λ ᾶ ν τ α.*

συγχωρεῖν (τύπ. *ξυγχωρέειν*, ἀντίθ. *ἐκχωρεῖν*) **1.** Συνέρχομαι/συναθροίζομαι, come together/collect, Ἀναξαγόρας 15 *τὸ μὲν πυκνὸν καὶ διερὸν καὶ ψυχρὸν καὶ τὸ ζοφερὸν ἐνθάδε σ υ ν ε χ ώ ρ η σ ε ν, ἔνθα νῦν ⟨ἡ γῆ⟩* **2.** Ὑποχωρῶ/συμβιβάζομαι, yield/compromise, Δημόκριτος 289 *ἀλογιστίη μὴ ξ υ γ χ ω ρ έ ε ι ν ταῖσι κατὰ τὸν βίον ἀνάγκαις.*

συζευγνύναι. Συζευγνύω/συζεύω, conjoin/unite, Φιλόλαος 14 *ἁ ψυχὰ τῷ σώματι σ υ ν έ ζ ε υ κ τ α ι.*

συλλαβά. Ἡ τετάρτη (μουσικὸς ὅρος), the fourth (musical term), Φιλόλαος 6.15-23 *ἁρμονίας δὲ μέγεθός ἐστι σ υ λ λ α β ὰ καὶ δι' ὀξειᾶν ... σ υ λ λ α β ὰ δὲ δύ' ἐπόγδοα καὶ δίεσις.*

Ακαδημία Αθηνών / Academy of Athens

συμβαίνειν (συνών. *συνέρχεσθαι*) **1.** Συμβαίνει/συνέπεται, it comes together/it follows, Μέλισσος 8(3) *ὥστε σ υ μ β α ί ν ε ι μήτε ὁρᾶν μήτε τὰ ὄντα γινώσκειν* **2.** Συνέρχομαι/σμίγω, come together/mate, Ἐμπεδοκλῆς 21.8 *ἐν δὲ Κότῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται, σ ὺ ν δ' ἔ β η ἐν Φιλότητι καὶ ἀλλήλοισι ποθεῖται* **3.** Συμβαίνει/γίνεται, it happens/it occurs, Ἀρχύτας 1.32-36-47 *ἔτι δὲ καὶ τοῦτο σ υ μ β α ί ν ε ι ὥσπερ ἐπὶ βελῶν ... τωὐτὸ δὲ καὶ ταῖς φωναῖς σ υ μ β ή σ ε τ α ι ... ἀλλὰ μὰν καὶ τοῖς ῥόμβοις τοῖς ἐν ταῖς τελεταῖς κινουμένοις τὸ αὐτὸ σ υ μ β α ί ν ε ι· ἡσυχᾷ μὲν κινούμενοι βαρὺν ἀφιέντι ἄχον, ἰσχυρῶς δέ, ὀξύν.* || Δημόκριτος 191.13 *καὶ μηκέτι πλειόνων ἐπιθυμέοντι σ υ μ β α ί ν ῃ κακοπαθεῖν τῇ ψυχῇ.*

συμβάλλεσθαι. Συμφωνῶ/συνομολογῶ, agree/admit, Ἡράκλειτος 47 *μὴ εἰκῇ περὶ τῶν μεγίστων σ υ μ β α λ λ ώ μ ε θ α.*

σύμβολον 1. Σύμβολο/ἀλληγορικὸ παράγγελμα, symbol/allegorical precept, Πυθαγόρειοι C 6 (DK I 465,21) Ἀναξίμανδρος Ἀναξιμάνδρου Μιλήσιος ὁ νεώτερος ἱστορικός· γέγονε δὲ κατὰ τοὺς Ἀρταξέρξου χρόνους τοῦ Μνήμονος κληθέντος· ἔγραψε *Σ υ μ β ό λ ω ν Πυθαγορείων ἐξήγησιν* **2.** Σημεῖο/προμήνυμα, sign/omen, Ἀναξαγόρας 19 *Ἶριν δὲ καλέομεν τὸ ἐν τῇσιν νεφέλῃσιν ἀντιλάμπον τῷ ἡλίῳ. χειμῶνος οὖν ἐστι σ ύ μ β ο λ ο ν.* Πρβλ. *σῆμα, σημεῖον.*

σύμμεικτος. Σύμμεικτος, miscellaneous, Δημόκριτος 11i (τίτλ.) *Αἰτίαι σ ύ μ μ ε ι κ τ ο ι.*

συμμένειν. Συμπαραμένω, stay together, Λεύκιππος A 1 (DK II 71,4-8) *τὰ δὲ λοιπὰ* (sc. σώματα) *σ υ μ μ έ ν ε ι ν καὶ περιπλεκόμενα συγκατατρέχειν ἀλλήλοις καὶ ποιεῖν πρῶτόν τι σύστημα σφαιροειδὲς ... καὶ οὕτω γενέσθαι τὴν γῆν, σ υ μ μ ε ν ό ν τ ω ν τῶν ἐνεχθέντων ἐπὶ τὸ μέσον* A 14 (DK II 75,29) *τὰς δὲ* (sc. ἀτόμους) *περιπλέκεσθαι ἀλλήλαις κατὰ τὴν τῶν σχημάτων καὶ μεγεθῶν καὶ θέσεων καὶ τάξεων συμμετρίαν καὶ σ υ μ μ έ ν ε ι ν καὶ οὕτως τὴν τῶν συνθέτων γένεσιν ἀποτελεῖσθαι* Δημόκριτος A 37 (DK II 93,33-37) *τοῦ δὲ σ υ μ μ έ ν ε ι ν τὰς οὐσίας μετ'*

Ακαδημία Αθηνών / Academy of Athens

ἀλλήλων μέχρι τινὸς αἰτιᾶται τὰς ἐπαλλαγὰς καὶ τὰς ἀντιλήψεις τῶν σωμάτων ... ἐπὶ τοσοῦτον οὖν χρόνον σφῶν αὐτῶν ἀντέχεσθαι νομίζει καὶ *συμμένειν*, ἕως ἰσχυροτέρα τις ἐκ τοῦ περιέχοντος ἀνάγκη παραγενομένη διασείσῃ καὶ χωρὶς αὐτὰς διασπείρῃ. || (ἀντίθ. *ἐκπτύεσθαι*). Δημόκριτος A 152 (DK II 125,38) οὐκοῦν ἐν *κρυμῷ* μὲν ... *συμμένει* (sc. τὸ ἔμβρυον), *ἐν ἀλέᾳ δὲ ὡς τὰ πολλὰ ἐκπτύεται*.

συμμετρίη (ἀντίθ. *ἀμετρίη*). Συμμετρία, symmetry, Δημόκριτος A 167 (DK II 129,15) *συμμετρίαν τε καὶ ἀταραξίαν* 191 *ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ*.

συμμέτρως. Μὲ τὸ προσῆκον μέτρο/μὲ τὴ δέουσα ἀναλογία, with the proper measure/in the necessary proportion, Δημόκριτος A 135 (DK II 116,28) περὶ δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦτον εἴρηκεν ὅτι *γίνεται συμμέτρως ἐχούσης τῆς ψυχῆς κατὰ τὴν κρῆσιν*. Πρβλ. *συμμετρίη*.

σύμμιξις (συνών. *μίξις*, ἀντίθ. *ἀπόκρισις*). Σύμμιξη, mixing, Ἀναξαγόρας 4.14 *πάντων ὁμοῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία· ἀπεκώλυε γὰρ ἡ σύμμιξις πάντων χρημάτων*. Πρβλ. *συμμίγεσθαι*.

συμμίσγειν (ἀντίθ. *ἀποκρίνειν*). Συμμιγνύω, mix together, Ἀρχύτας A 17 (DK I 429,22) *συμμίσγειν* δὲ λέγουσιν οἱ Πυθαγόρειοι τὸ ἕνα ἐξ ἀμφοτέρων ἀριθμὸν λαβεῖν. || **συμμίσγεσθαι** (συνών. *μειγνύναι*, *συγκρίνεσθαι*, ἀντίθ. *ἀποκρίνεσθαι*, *διακρίνεσθαι*). Συμμιγνύομαι/συνενώνομαι, be mixed together/be united, Ἡράκλειτος 67 *ὁπόταν συμμιγῇ θυώμασιν* Ἀναξαγόρας 12.7-15 *καὶ ἂν ἐκώλυεν αὐτὸν τὰ συμμεμειγμένα ... καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα καὶ διακρινόμενα πάντα ἔγνω νοῦς* 17 *οὐδὲν γὰρ χρῆμα γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται. καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γίνεσθαι συμμίσγεσθαι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι*. Πρβλ. *σύμμιξις*.

Ακαδημία Αθηνών / Academy of Athens

σύμπας (τύπ. *ξύμπας*) **1.** Ὅλα, all, Ἀναξαγόρας 1.5 *ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖς σύμπασι καὶ πλήθει καὶ μεγέθει* Δημόκριτος 11 *γνώμης δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γνησίη, ἡ δὲ σκοτίη· καὶ σκοτίης μὲν τάδε σύμπαντα, ὄψις, ἀκοή, ὀδμή, γεῦσις, ψαῦσις.*|| Δημόκριτος 165 *λέγω τάδε περὶ τῶν ξυμπάντων* **2.** Ὁλόκληρος, whole, Ἀναξαγόρας 12.12 *τῆς περιχωρήσιος τῆς συμπάσης νοῦς ἐκράτησεν, ὥστε περιχωρῆσαι τὴν ἀρχὴν* Δημόκριτος 247 *ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος* **3.** Τὸ σύμπαν, the Whole, Ἀναξαγόρας 4.20 *ἐν τῷ σύμπαντι χρὴ δοκεῖν ἐνεῖναι πάντα χρήματα* **4.** Καθόλου/συνολικά, generally/on the whole, Διογένης 2.1 *ἐμοὶ δὲ δοκεῖ τὸ μὲν ξύμπαν εἰπεῖν πάντα τὰ ὄντα ἀπὸ τοῦ αὐτοῦ ἑτεροιοῦσθαι καὶ τὸ αὐτὸ εἶναι.* Πρβλ. *πᾶς.*

συμπήγνυσθαι. Συμπήγνυμαι/συντίθεμαι, be congealed/be composed of, Ἀναξαγόρας 4.4 *καὶ ἀνθρώπους τε συμπαγῆναι καὶ τὰ ἄλλα ζῷα ὅσα ψυχὴν ἔχει* 16.1-3 *ἀπὸ τουτέων ἀποκρινομένων συμπήγνυνται γῆ· ἐκ μὲν γὰρ τῶν νεφελῶν ὕδωρ ἀποκρίνεται, ἐκ δὲ τοῦ ὕδατος γῆ, ἐκ δὲ τῆς γῆς λίθοι συμπήγνυνται ὑπὸ τοῦ ψυχροῦ.* Πρβλ. *πήγνυσθαι.*

συμπίπτειν 1. Συμπίπτω/συναντῶμαι, coincide/come together, Ἐμπεδοκλῆς 59.2 *αὐτὰρ ἐπεὶ κατὰ μεῖζον ἐμίσγετο δαίμονι δαίμων, ταῦτά τε συμπίπτεσκον, ὅπῃ συνέκυρσεν ἕκαστα* Ἀρχύτας 1.14 *πλαγὰν δ' ἔφαν γίνεσθαι, ὅκκα τὰ φερόμενα ἀπαντιάξαντα ἀλλάλοις συμπέτῃ* **2.** Συμπίπτω/συμβαίνω, happen/occur, Ἀρχύτας 2.6 *καὶ ἐν ταύτᾳ ⟨τᾷ⟩ ἀναλογίᾳ συμπίπτει ἦμεν τὸ τῶν μειζόνων ὅρων διάστημα μεῖον, τὸ δὲ τῶν μειόνων μεῖζον.* Πρβλ. *συγκύρειν, ἀπαντιάζειν.*

συμφέρειν 1. Συμπορεύομαι/συμφωνῶ, go along together/agree, Ἡράκλειτος 8 *τὸ ἀντίξουν συμφέρον* **2.** Συμφέρω/ὠφελῶ, be advantageous/benefit, Δημόκριτος 74 *ἡδὺ μηδὲν ἀποδέχεσθαι, ἢν μὴ συμφέρῃ* 107 *φίλοι οὐ πάντες οἱ ξυγγενέες, ἀλλ' οἱ ξυμφωνέοντες περὶ τοῦ ξυμφέροντος* 237 *φιλονικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενέος βλαβερὸν θεωρεῦσα τὸ ἴδιον συμφέρον οὐ βλέπει* 253 *τοῖς χρηστοῖσιν οὐ συμφέρον*

Ακαδημία Αθηνών / Academy of Athens

ἀμελέοντας τῶν ἑωυτῶν ἄλλα πρήσσειν. || **συμφέρεσθαι 1.** Συμφέρομαι/ἐναρμονίζομαι, go along with/be harmonized with, Ἡράκλειτος 10 *συνάψιες ὅλα καὶ οὐχ ὅλα, σ υ μ φ ε ρ ό μ ε ν ο ν διαφερόμενον, συνᾷδον διᾷδον* **2.** Συνάγω/μαζεύω καὶ φέρνω, gather/collect and bear, Ἀναξαγόρας 4.10 *ἐκεῖνοι τὰ ὀνήιστα σ υ ν ε ν ε γ κ ά μ ε ν ο ι εἰς τὴν οἴκησιν χρῶνται.*

συμφορά. Συμφορὰ/δυστυχία, calamity/misfortune, Δημόκριτος 42 *μέγα τὸ ἐν ξ υ μ φ ο ρ ῇ σ ι φρονεῖν ἃ δεῖ* 76 *νηπίοιοιν οὐ λόγος, ἀλλὰ ξ υ μ φ ο ρ ὴ γίνεται διδάσκαλος* 107a *ἄξιον ἀνθρώπους ὄντας ἐπ' ἀνθρώπων σ υ μ φ ο ρ α ῖ ς μὴ γελᾶν, ἀλλ' ὀλοφύρεσθαι* 215 *ἀδικίης δὲ δεῖμα ξ υ μ φ ο ρ ῆ ς τέρμα* 293 *αἱ τῶν πέλας ξ υ μ φ ο ρ α ί.*

σύμφορον (ἀντίθ. *ἀσύμφορον*). Συμφέρον/ὠφέλιμο, advantageous/beneficial, Δημόκριτος 4 *τέρψις γὰρ καὶ ἀτερπίη οὖρος ⟨τῶν σ υ μ φ ό ρ ω ν καὶ τῶν ἀσυμφόρων ...⟩* 188 *ὅρος σ υ μ φ ό ρ ω ν καὶ ἀσυμφόρων τέρψις καὶ ἀτερπίη.* Πρβλ. *συμφέρειν.*

συμφρόνησις (συνών. *ὁμοφροσύνη*). Ὁμοφροσύνη/ συμφωνία, agreement, Φιλόλαος 10 *ἔστι γὰρ ἁρμονία πολυμιγέων ἕνωσις καὶ δίχα φρονεόντων σ υ μ φ ρ ό ν η σ ι ς.*

συμφύεσθαι. Συμφύομαι/συναναπτύσσομαι, grow together, Ἐμπεδοκλῆς 26.7 *εἰσόκεν ἓν σ υ μ φ ύ ν τ α τὸ πᾶν ὑπένερθε γένηται* 95 *Κύπριδος ... ἐν παλάμῃσιν ὅτε ξ ὺ μ πρῶτ' ἐ φ ύ ο ν τ ο.*

συμφύρεσθαι. Συμφύρομαι, be kneaded together, Δημόκριτος 285 *ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγογρόνιον πολλῇσίν τε κηρσὶ σ υ μ π ε φ υ ρ μ έ ν η ν καὶ ἀμηχανίῃσιν.*

σύμφυτος. Σύμφυτος, congenital, Φιλόλαος 11.26 *ἁ δ' ἀλήθεια οἰκεῖον καὶ σ ύ μ φ υ τ ο ν τᾷ τῶ ἀριθμῶ γενεᾷ.*

συμφωνεῖν. Συμφωνῶ, agree, Δημόκριτος 107 *φίλοι οὐ πάντες οἱ ξυγγενέες, ἀλλ' οἱ ξ υ μ φ ω ν έ ο ν τ ε ς περὶ τοῦ ξυμφέροντος.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

συνάγειν (ἀντίθ. *σκιδνάναι*). Συνάγομαι/συναθροίζομαι, be brought together/congregate, Ἡράκλειτος 91 *σκίδνησι καὶ πάλιν σ υ ν ά γ ε ι.*

συναγελάζεσθαι. Συναγελάζομαι, herd together, Δημόκριτος 164.2 *ζῷα ... ὁμογενέσι ζῴοις σ υ ν α γ ε λ ά ζ ε τ α ι.*

συναγωγή. Συνάθροιση/ἀποθησαυρισμός, amassment/gathering, Δημόκριτος 222 *ἡ τέκνοις ἄγαν χρημάτων σ υ ν α γ ω γ ὴ πρόφασίς ἐστι φιλαργυρίης τρόπον ἴδιον ἐλέγχουσα.* Πρβλ. *συνάγειν.*

συναγωγός. Συναγωγικὸς/συνελκτικός, apt to assemble/drawing together, Δημόκριτος 164.11 *ὡς ἂν σ υ ν α γ ω γ ό ν τι ἐχούσης τῶν πραγμάτων τῆς ἐν τούτοις ὁμοιότητος.*

συνᾴδειν. Συνάδω/συμφωνῶ, accord with/agree, Ἡράκλειτος 10 *σ υ ν ᾷ δ ο ν διᾷδον, καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα.*

συναδικεῖν. Συναδικῶ/συνεργῶ σὲ ἀδίκημα, collaborate in crime/join in doing wrong, Δημόκριτος 38 *καλὸν μὲν τὸν ἀδικέοντα κωλύειν· εἰ δὲ μή, μὴ ξ υ ν α δ ι κ έ ε ι ν.*

συνάλλαγμα. Ἀνταλλαγὴ/δοσοληψία, exchange/transaction, Ἀρχύτας 3.9 *τούτῳ γὰρ περὶ τῶν σ υ ν α λ λ α γ μ ά τ ω ν διαλλασσόμεθα.*

συνάορος (τύπ. *συνήορος*). Συνοδὸς/σύντροφος, attendant/companion, Παρμενίδης 1.24 *ὦ κοῦρ' ἀθανάτοισι σ υ ν ά ο ρ ο ς ἡνιόχοισιν.*

συνάπας. Σύμπας/ὅλος, all, Φιλόλαος 13.6 *ἐγκέφαλος δὲ ⟨σαμαίνει⟩ τὰν ἀνθρώπω ἀρχάν, καρδία δὲ τὰν ζώου, ὀμφαλὸς δὲ τὰν φυτοῦ, αἰδοῖον δὲ τὰν ξ υ ν α π ά ν τ ω ν.* Πρβλ. *πᾶς.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

συναρμόζεσθαι. Συναρμόζομαι/συγκροτοῦμαι, be fitted together/be assembled, Ἐμπεδοκλῆς 71.4 *ὅσα νῦν γεγάασι σ υ ν α ρ μ ο σ θ έ ν τ' Ἀφροδίτῃ* Φιλόλαος 2.6 *ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ σ υ ν α ρ μ ό χ θ η.*

συναύξειν. Συνεπαυξάνω/συνεπιφέρω αὔξηση, augment with/bring increase, Δημόκριτος 184 *φαύλων ὁμιλίη συνεχὴς ἕξιν κακίης σ υ ν α ύ ξ ε ι.*

σύναψις. Συναίρεση/συνένωση, contraction/joining, Ἡράκλειτος 10 *σ υ ν ά ψ ι ε ς ὅλα καὶ οὐχ ὅλα, συμφερόμενον διαφερόμενον, συνᾷδον διᾷδον, καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα.*

συνείδησις. Συνείδηση/συναίσθηση, consciousness, Δημόκριτος 297 *σ υ ν ε ι δ ή σ ε ι δὲ τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης.*

συνέρχεσθαι. Συνέρχομαι/συγκεντρώνομαι, come together, Ἐμπεδοκλῆς 17.7 καὶ 20.2 *ἄλλοτε μὲν Φιλότητι σ υ ν ε ρ χ ό μ ε ν' εἰς ἓν ἅπαντα* 26.5 *ἄλλοτε μὲν Φιλότητι σ υ ν ε ρ χ ό μ ε ν' εἰς ἕνα κόσμον* 35.5 *ἐν τῇ δὴ τάδε πάντα σ υ ν έ ρ χ ε τ α ι ἓν μόνον εἶναι* 36 *τῶν δὲ σ υ ν ε ρ χ ο μ έ ν ω ν ἐξ ἔσχατον ἵστατο Νεῖκος.*

σύνεσις (τύπ. *ξύνεσις*, ἀντίθ. *ἀσυνεσίη*). Σύνεση/φρόνηση, prudence, Δημόκριτος A 135 (DK II 119,28) *μοῖραν ἔχειν σ υ ν έ σ ε ω ς* 77 *δόξα καὶ πλοῦτος ἄνευ ξ υ ν έ σ ι ο ς οὐκ ἀσφαλέα κτήματα* 181.6 *σ υ ν έ σ ε ι τε καὶ ἐπιστήμῃ ὀρθοπραγέων τις ἀνδρεῖος ἅμα καὶ εὐθύγνωμος γίγνεται* 183 *ἔστι που νέων ξ ύ ν ε σ ι ς καὶ γερόντων ἀξυνεσίη.*

συνετός. Βλ. **ξυνετός.**

συνέχειν 1. Συγκλίνω/συνενώνομαι, converge/be joined together, Διογένης 6.33 *εἰς ἣν αἱ πλεῖσται (sc. φλέβες) ἐκ τῆς κεφαλῆς σ υ ν έ χ ο υ σ ι ν αὐτῆς* **2.** Συνέχω/περιέχω, hold together/contain, Δημόκριτος 179 *ὅπερ μάλιστα τὴν ἀρετὴν σ υ ν έ χ ε ι.* || **συνέχεσθαι.** Συνέχομαι/ὑπάρχω μὲ συνοχή, be contiguous/be cohesive, Παρμενίδης 8.23 *τό κεν εἶργοι μιν σ υ ν έ χ ε σ θ α ι.*

Ακαδημία Αθηνών / Academy of Athens

συνεχὴς (τύπ. *ξυνεχής*) **1.** Συνεχόμενος, continuous, Παρμενίδης 8.6-25 *ἕν, σ υ ν ε χ ὲ ς ... τῷ ξ υ ν ε χ ὲ ς πᾶν ἐστιν* **2.** Συνεχὴς/ἀδιάκοπος, continuous/uninterrupted, Δημόκριτος 184 *φαύλων ὁμιλίη σ υ ν ε χ ὴ ς ἕξιν κακίης συναύξει* 241 *πόνος σ υ ν ε χ ὴ ς ἐλαφρότερος ἑαυτοῦ συνηθείῃ γίνεται.*

συνήθεια. Συνήθεια, habit, Δημόκριτος A 151 (DK II 125,17) *ἐπὶ τὴν τῆς γονῆς αὐτῶν σ υ ν ή θ ε ι α ν* 241 *πόνος συνεχὴς ἐλαφρότερος ἑαυτοῦ σ υ ν η θ ε ί ῃ γίνεται.* Πρβλ. *ἕξις.*

συνιέναι (συνών. *νοεῖν*) **1.** Ἐννοῶ/κατανοῶ, understand, Ἡράκλειτος 51 *οὐ ξ υ ν ι ᾶ σ ι ν ὅκως διαφερόμενον ἑωυτῷ ὁμολογέει.* || Μέλισσος 8(2) *νῦν δέ φαμεν ὀρθῶς ὁρᾶν καὶ ἀκούειν καὶ σ υ ν ι έ ν α ι* **2.** Νοῶ/διαθέτω νόηση, understand/have intellect, Ἀλκμαίων 1a *ἄνθρωπον γὰρ ... τῶν ἄλλων διαφέρειν ὅτι μόνον ξ υ ν ί η σ ι, τὰ δ' ἄλλα αἰσθάνεται μέν, οὐ ξ υ ν ί η ο ι δὲ* **3.** Γνωρίζω/ἐννοῶ, know/apprehend, Δημόκριτος 9 *ἡμεῖς δὲ τῷ μὲν ἐόντι οὐδὲν ἀτρεκὲς σ υ ν ί ε μ ε ν, μεταπῖπτον δὲ κατά τε σώματος διαθήκην καὶ τῶν ἐπεισιόντων καὶ τῶν ἀντιστηριζόντων* 10 *ἑτεῇ μέν νυν ὅτι οἷον ἕκαστον ἔστιν ⟨ἢ⟩ οὐκ ἔστιν οὐ σ υ ν ί ε μ ε ν, πολλαχῇ δεδήλωται.* || Δημόκριτος 95 *τιμαὶ παρὰ τοῖς εὖ φρονέουσι μέγα δύνανται, οἳ ξ υ ν ι ᾶ σ ι τιμώμενοι* **4.** Συναισθάνομαι/ἔχω ἐπίγνωση, be conscious of, Δημόκριτος 293 *οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί, οὐ ξ υ ν ι ᾶ σ ι μὲν ὡς τὰ τῆς τύχης κοινὰ πᾶσιν, ἀπορέουσι δὲ οἰκηίης χαρᾶς.* Πρβλ. *γι(γ)νώσκειν.*

συνίστασθαι 1. Συνενώνομαι, join, Παρμενίδης 4.4 *οὔτε σκιδνάμενον ... οὔτε σ υ ν ι σ τ ά μ ε ν ο ν* Ἐμπεδοκλῆς 35.6 *σ υ ν ι σ τ ά μ ε ν' ἄλλοθεν ἄλλα* **2.** Συνίσταμαι/ἀποτελοῦμαι, be composed, Φιλόλαος 6.6 *ἐξ ὧν σ υ ν έ σ τ α ὁ κόσμος* Διογένης 2.11 *εἰ μὴ οὕτω σ υ ν ί σ τ α τ ο.*

σύνοδος 1. Σύνοδος/συνένωση, coming together/uniting, Ἐμπεδοκλῆς 17.4 *τὴν μὲν γὰρ πάντων σ ύ ν ο δ ο ς τίκτει τ' ὀλέκει τε* **2.** Σύνοδος/συνάθροιση, assembly, Πυθαγόρειοι C 2 (DK I 463,6) *τὸν σεισμὸν ... εἶναι ... σ ύ ν ο δ ο ν τῶν τεθνεώτων.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

συνοικεῖσθαι. Συνοικίζομαι/ἱδρύομαι, be cohabitated/be founded, 'Αναξαγόρας 4.6 *καὶ τοῖς γε ἀνθρώποισιν εἶναι καὶ πόλεις σ υ ν ω κ η μ έ ν α ς καὶ ἔργα κατεσκευασμένα, ὥσπερ παρ' ἡμῖν.*

συνουσίη. Βλ. **ξυνουσίη.**

συνοχή. Συνοχὴ/δεσμός, cohesion/bond, Φιλόλαος A 16 (DK I 403,15) *Διὸς οἶκον ... μητέρα θεῶν βωμόν τε ... σ υ ν ο χ ὴ ν ... μέτρον φύσεως.* Πρβλ. *συνέχειν.*

σύνταγμα. Σύγγραμμα, treatise, Δημόκριτος 13 *Περὶ ἀστρονομίας καὶ ἐν τοῖς ὑπολειπομένοις σ υ ν τ ά γ μ α σ ι.*

συντάττεσθαι 1. Συντάσσομαι/συγγράφομαι, be written, Δημόκριτος 5 *σ υ ν τ ε τ ά χ θ α ι ... τὸν Μικρὸν διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως τριάκοντα καὶ ἑπτακοσίοις* **2.** Συντάσσομαι/συγκροτοῦμαι, be arranged/be ordered, Δημόκριτος 61 *οἷσιν ὁ τρόπος ἐστὶν εὔτακτος, τούτοισι καὶ ὁ βίος σ υ ν τ έ τ α κ τ α ι.*

σύριγξ. Αὐλὸς/σωλήνας, pipe, Παρμενίδης 1.6-19 *ἄξων δ' ἐν χνοίῃσιν ἵει σ ύ ρ ι γ γ ο ς ἀυτὴν ... ἄξονας ἐν σ ύ ρ ι γ ξ ι ν ἀμοιβαδὸν εἰλίξασαι* 'Εμπεδοκλῆς 100.2 *λίφαιμοι σαρκῶν σ ύ ρ ι γ γ ε ς.*

σύστομος. Στενοστόμιος/μικροστόμιος, narrow-mouthed/small-mouthed, 'Αρχύτας 1.23 *ὥσπερ οὐδ' ἐς τὰ σ ύ σ τ ο μ α τῶν τευχέων.*

σφαγή. Σφαγὴ (μέρος τοῦ λαιμοῦ), part of the neck, Διογένης 6.5-27-34 *παρὰ τὰς κλεῖδας διὰ τῶν σ φ α γ ῶ ν ... διὰ τῶν σ φ α γ ῶ ν ... διὰ τῶν σ φ α γ ῶ ν.*

σφαῖρα 1. 'Η σφαίρα, the sphere as a geometrical body, Παρμενίδης 8.43 *αὐτὰρ ἐπεὶ πεῖρας πύματον, τετελεσμένον ἐστὶ πάντοθεν, εὐκύκλου σ φ α ί ρ η ς ἐναλίγκιον ὄγκῳ* Δημόκριτος 111 (τίτλ.). *Περὶ διαφορῆς γνώμης ἢ Περὶ ψαύσιος κύκλου καὶ σ φ α ί ρ η ς* 155a *ἡ σ φ α ῖ ρ α ὡς γωνία τις οὖσα τέμνει* **2.** Τὸ σύμπαν ὡς σφαίρα, the universe as sphere, Φιλόλαος 7 *τὸ πρᾶτον ἁρμοσ-*

Ακαδημία Αθηνών / Academy of Athens

θέν, τὸ ἕν, ἐν τῷ μέσῳ τᾶς σφαίρας ἑστία καλεῖται. || Φιλόλαος 12 *καὶ τὰ μὲν τᾶς σφαίρας σώματα πέντε ἐντί, τὰ ἐν τᾷ σφαίρᾳ πῦρ ⟨καὶ⟩ ὕδωρ καὶ γᾶ καὶ ἀήρ, καὶ ὁ τᾶς σφαίρας ὀλκάς(?), πέμπτον.*

σφαῖρος. Σφαῖρος, sphere, Ἐμπεδοκλῆς 27.4 *καὶ* 28.2 *ἀλλ' ὅ γε πάντοθεν ἶσος ⟨ἑοῖ⟩ καὶ πάμπαν ἀπείρων Σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέι γαίων* 29.3 *σφαῖρος ἔην καὶ ⟨πάντοθεν⟩ ἶσος ἑαυτῷ.*

σφαλερός. Ἀβέβαιος/παρακινδυνευμένος, uncertain/full of pitfalls, Δημόκριτος 275 *τεκνοτροφίη σφαλερόν.* Πρβλ. *ἀβέβαιος.*

σφάλλεσθαι. Παραπαίω/παραπατῶ, stagger/stumble, Ἡράκλειτος 117 *ἀνὴρ ὅκόταν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος.*

σφεδανός. Σφοδρὸς/μανιασμένος, violent/frenzied, Ξενοφάνης 1.23 *στάσιας σφεδανάς.*

σφίγγειν. Σφίγγω/περισφίγγω, tighten/tighten round, Ἐμπεδοκλῆς 38.4 *Τιτὰν ἠδ' αἰθὴρ σφίγγων περὶ κύκλον ἅπαντα.*

σφοδρός. Σφοδρὸς/ἰσχυρός, vehement/strong, Δημόκριτος 72 *αἱ περί τι σφοδραὶ ὀρέξεις τυφλοῦσιν εἰς τἆλλα τὴν ψυχὴν* Ἀρχύτας 1.31-44-53-54 *σφοδρῷ τῷ πνεύματι φθεγγόμενοι ... διὰ τὰν ἰσχὺν τὰν σφοδρὰν ὀξύτερον ἄχον ἀφίησιν ... τὸ γὰρ αὐτὸ πνεῦμα διὰ μὲν τῶ μακρῶ τόπω ἀσθενὲς ἐκφέρεται, διὰ δὲ τῶ μείονος σφοδρόν.* Πρβλ. *ἰσχυρός.*

σχέδυνος. Συνεκτικὸς/συνδετικός, connecting/joining, Ἐμπεδοκλῆς 19 *σχεδύνην Φιλότητα.*

σχέτλιος. Οἰκτρὸς/ἀποτρόπαιος, miserable/aboninable, Ἐμπεδοκλῆς 139.2 *σχέτλι' ἔργα βορᾶς περὶ χείλεσι μητίσασθαι.*

Ακαδημία Αθηνών / Academy of Athens

σχίζειν. Διαχωρίζω, separate/divide, Φιλόλαος 11.14 *σωματῶν καὶ σ χ ί ζ ω ν τοὺς λόγους χωρὶς ἑκάστους τῶν πραγμάτων.* || **σχίζεσθαι.** Διογένης 6.12-18-24-28 *σ χ ί ζ ε τ α ι δ' αὐτῶν ἄκρα ἑκατέρα ... αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι (sc. φλέβες) σ χ ί ζ ο ν τ α ι κατὰ τὴν πρόσφυσιν ... σ χ ί ζ ο ν τ α ι δὲ καὶ ἐπὶ τὴν κοιλίαν ... σ χ ί ζ ο ν τ α ι εἰς τὴν κεφαλὴν πολλαί.*

σχιστός. Σχιστός, split, Ἐμπεδοκλῆς 66 *σ χ ι σ τ ο ὺ ς λειμῶνας ... Ἀφροδίτης.*

σῴζεσθαι (ἀντίθ. *διαφθείρεσθαι*). Σώζομαι/διατηροῦμαι, be saved/be preserved, Δημόκριτος 252.4 *πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι ... καὶ τούτου σ ῳ ζ ο μ έ ν ο υ πάντα σ ῴ ζ ε τ α ι καὶ τούτου διαφθειρομένου τὰ πάντα διαφθείρεται.*

σῶμα 1. Σῶμα (ζώου ἢ ἀνθρώπου), body (of animal or man), Ξενοφάνης 15.4 *ἵπποι μέν θ' ἵπποισι βόες δέ τε βουσὶν ὁμοίας καί ⟨κε⟩ θεῶν ἰδέας ἔγραφον καὶ σ ώ μ α τ' ἐποίουν τοιαῦθ' οἷόν περ καὐτοὶ δέμας εἶχον ⟨ἕκαστοι⟩* Ἐμπεδοκλῆς 20.3 *ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα γυῖα, τὰ σ ῶ μ α λέλογχε, βίου θαλέθοντος ἐν ἀκμῇ* 100.2 *λίφαιμοι σαρκῶν σύριγγες πύματον κατὰ σ ῶ μ α τέτανται* Φιλόλαος 14 *διά τινας τιμωρίας ἁ ψυχὰ τῷ σ ώ μ α τ ι συνέζευκται καὶ καθάπερ ἐν σάματι τούτῳ τέθαπται* Διογένης 6.6 *ἀπὸ δὲ τούτων καθ' ἅπαν τὸ σ ῶ μ α φλέβες διατείνουσιν* Δημόκριτος A 77 (DK II 103,23) *ἐγκαταβυσσοῦσθαι τὰ εἴδωλα διὰ τῶν πόρων εἰς τὰ σ ώ μ α τ α καὶ ποιεῖν τὰς κατὰ ὕπνον ὄψεις ἐπαναφερόμενα* 9 *ἡμεῖς δὲ τῷ μὲν ἐόντι οὐδὲν ἀτρεκὲς συνίεμεν, μεταπῖπτον δὲ κατά τε σ ώ μ α τ ο ς διαθήκην καὶ τῶν ἐπεισιόντων καὶ τῶν ἀντιστηριζόντων* 31 *ἰατρικὴ μὲν ... σ ώ μ α τ ο ς νόσους ἀκέεται, σοφίη δὲ ψυχὴν παθῶν ἀφαιρεῖται* 40 *οὔτε σ ώ μ α σ ι ν οὔτε χρήμασιν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀρθοσύνῃ καὶ πολυφροσύνῃ* 105 *σ ώ μ α τ ο ς κάλλος ζῳῶδες, ἢν μὴ νοῦς ὑπῇ* 135 *δεξαμεναί: ὑδάτων δοχεῖα, καὶ ἐν τῷ σ ώ μ α τ ι φλέβες* 159.1-4 *εἰ τοῦ σ ώ μ α τ ο ς αὐτῇ (sc. τῇ ψυχῇ) δίκην λαχόντος ... ἡδέως ἂν καταψηφίσασθαι τῆς ψυχῆς, ἐφ' οἷς τὰ μὲν ἀπώλεσε τοῦ σ ώ μ α τ ο ς ταῖς ἀμελείαις καὶ ἐξέλυσε ταῖς μέθαις* 187.1 *ἀνθρώποις ὁρμόδιον ψυχῆς μᾶλλον ἢ σ ώ μ α τ ο ς*

Ακαδημία Αθηνών / Academy of Athens

λόγον ποιεῖσθαι 212 *ἡμερήσιοι ὕπνοι σ ώ μ α τ ο ς ὄχλησιν ἢ ψυχῆς ἀδημοσύνην ἢ ἀργίην ἢ ἀπαιδευσίην σημαίνουσι* 280.4 *παιδεῦσαί τε τοὺς παῖδας καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σ ώ μ α σ ι ν αὐτῶν.* Πρβλ. *δέμας* **2.** Σῶμα ὡς ἐκτατόν, body as extensible, Μέλισσος 9 *ἓν δ' ἐὸν δεῖ αὐτὸ σ ῶ μ α μὴ ἔχειν. εἰ δὲ ἔχοι πάχος, ἔχοι ἂν μόρια, καὶ οὐκέτι ἓν εἴη* **3.** Σῶμα ὡς ὑλικὸ στοιχεῖο, body as material element, Φιλόλαος 12.1 *καὶ τὰ μὲν τᾶς σφαίρας σ ώ μ α τ α πέντε ἐντὶ* Διογένης 7 *καὶ αὐτὸ μὲν τοῦτο καὶ ἀίδιον καὶ ἀθάνατον σ ῶ μ α, τῶν δὲ τὰ μὲν γίνεται, τὰ δὲ ἀπολείπει* Δημόκριτος 141 *ἰδέα: ἡ ὁμοιότης, μορφή, εἶδος. καὶ τὸ ἐλάχιστον σ ῶ μ α.*

σωματοῦν. Σωματώνω/συνθέτω, give body to/make up, Φιλόλαος 11.13 *νῦν δὲ οὗτος (sc. ὁ ἀριθμός) καττὰν ψυχὰν ἁρμόζων αἰσθήσει πάντα γνωστὰ καὶ ποτάγορα ἀλλάλοις κατὰ γνώμονος φύσιν ἀπεργάζεται σ ω μ α τ ῶ ν καὶ σχίζων τοὺς λόγους χωρὶς ἑκάστους τῶν πραγμάτων τῶν τε ἀπείρων καὶ τῶν περαινόντων.*

Σωπή (ἀντίθ. *Ὀμφαίη*). Ἡ Ἱερὴ Σιγή (προσωποπ.), Holy Silence (personif.), Ἐμπεδοκλῆς 123.3 *Σ ω π ή τε καὶ Ὀμφαίη.*

σωτηρία. Σωτηρία/προστασία, safeguard/protection, Δημόκριτος 43 *μεταμέλεια ἐπ' αἰσχροῖσιν ἔργμασι βίου σ ω τ η ρ ί η* 280 *ἔξεστιν οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας καὶ τεῖχός τε καὶ σ ω τ η ρ ί η ν περιβαλέσθαι τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν αὐτῶν.*

σωτήριος (ἀντίθ. *ὀλέθριος*). Σωτήριος /βιοσυντηρητικός, saving/preservative of life, Ἡράκλειτος 61 *θάλασσα ὕδωρ καθαρώτατον καὶ μιαρώτατον, ἰχθύσι μὲν πότιμον καὶ σ ω τ ή ρ ι ο ν, ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον.*

